	αναφορικές αντωνυμίες (βλ. Γ.Α.Ε. §§ 240 - 242)		επιρρηματικός προσδ. της αιτίας του σκοπού του αποτελέσματος υπόθεση		Όπως οι Αιτιολογικές προτ. Οριστική Μέλλοντα Όπως οι Αποτελεσματικές προτάσεις Όπως οι Υποθετικοί λόγοι
ΠΑΡΑΒΟΛΙΚΕΣ ή ΠΑΡΟΜΟΙΑΣΤΙΚΕΣ	**ὡς, ὥσπερ, ὅπως,** **ὅσον, ὅσῳ...**		παρομοίωση ή σύγκριση		Οποιαδήποτε έγκλιση

Β. ΕΙΔΙΚΕΣ ΠΑΡΑΤΗΡΗΣΕΙΣ

Ι. Οι προτάσεις ως προς το περιεχόμενό τους διακρίνονται σε:

α) **Προτάσεις κρίσεως,** με τις οποίες διατυπώνεται μια κρίση, μια σκέψη ή δίνεται μια πληροφορία. Εκφέρονται με οριστική (απλή ή δυνητική) ή με δυνητική ευκτική. Έχουν άρνηση **οὐ**.

Σῴζονται καὶ ἐκ πάνυ δεινῶν οἱ ἀγαθοί.
Τὴν πόλιν ἂν ἡγήσω πολέμου ἐργαστήριον εἶναι.
Οὐκ ἂν φθάνοις λέγων.

β) **Προτάσεις επιθυμίας,** με τις οποίες εκφράζεται μια επιθυμία, μια προσταγή, μια ευχή. Εκφέρονται με υποτακτική, ευχετική οριστική, ευχετική ευκτική και προστακτική˙ έχουν άρνηση **μή.**

Μηδενὶ συμφορὰν ὀνειδίσῃς.
Εἴθε σοι τότε συνεγενόμην.
Ὦ παῖ, γένοιο πατρὸς εὐτυχέστερος, τὰ δ' ἄλλ' ὅμοιος.
Ἐμοὶ πείθου καὶ μὴ ἄλλως ποίει.

ΙΙ. 1. Οι **ενδοιαστικές** προτάσεις εκφέρονται με οριστική, όταν εκφράζουν φόβο για κάτι πραγματικό και όχι ενδεχόμενο να συμβεί.
Νῦν δὲ φοβούμεθα μὴ ἀμφοτέρων ἅμα ἡμαρτήκαμεν.

2. Οι **αιτιολογικές** προτάσεις που εξαρτώνται από ρήματα ψυχικού πάθους (**χαίρω, ἥδομαι, θαυμάζω** κ.τ.ό) εισάγονται με τον σύνδεσμο **εἰ**, όταν το αίτιο μπορεί να αμφισβητηθεί:
Οὐ θαυμαστόν, εἰ μὴ τούτων ἐνεθυμήθησαν;

3. Οι **τελικές** προτάσεις, όταν δηλώνουν σκοπό που δεν μπορεί να πραγματοποιηθεί, διότι προηγείται ευχή ανεκπλήρωτη ή κάτι που δεν έγινε, εκφέρονται με οριστική παρελθοντικού χρόνου:
Ἔδει τὰ ἐνέχυρα τότε λαβεῖν, ὡς μὴ ἐδύνατο ἐξαπατᾶν.

4. Οι **συμπερασματικές** προτάσεις εκφέρονται με απαρέμφατο, όταν δηλώνουν δυνατό ή ενδεχόμενο αποτέλεσμα, επιδιωκόμενο αποτέλεσμα (δηλ. σκοπό), όρο ή συμφωνία ή προϋπόθεση:
— **Ἔχω τριήρεις, ὥστε ἑλεῖν** (= μπορώ να συλλάβω) **τὸ ἐκείνων πλοῖον.**
— **Οἱ τριάκοντα ἐβουλήθησαν Ἐλευσῖνα ἐξιδιώσαθαι** (= να πάρουν), **ὥστε εἶναι σφίσι καταφυγήν.**
— **Πολλά χρήματα ἔδωκεν ἂν Φιλιστίδης, ὥστ' ἔχειν Ὠρεόν.**

5. Οι **χρονικές** προτάσεις, που εισάγονται με τον σύνδεσμο **πρίν**, εκφέρονται με απαρέμφατο, όταν η κύρια πρόταση είναι καταφατική, και σπάνια όταν είναι αρνητική:

Οὐδέ πρὸς δικαστηρίῳ ὤφθην οὐδεπώποτε, πρὶν ταύτην τὴν συμφορὰν γενέσθαι (= προτού να συμβεί).

6. Οι **πλάγιες ερωτηματικές** προτάσεις διακρίνονται σε:

α) Ερωτήσεις ολικής άγνοιας οι οποίες εισάγονται:
1. Οι απλές με **εἰ**
2. Οι διμελείς με **εἰ–ἤ, πότερον ή πότερα–ἤ, εἴτε – εἴτε.**
— **Ἀπορεῖς εἰ διδακτόν ἐστιν ἡ ἀρετή;**
— **Πειράσομαι μαθεῖν εἰ ἀληθές ἐστιν ὃ λέγεις ἢ μή.**
— **Ἡ μήτηρ διηρώτα τὸν Κῦρον πότερον βούλοιτο μένειν ἢ ἀπιέναι.**

β) Ερωτήσεις μερικής άγνοιας, οι οποίες εισάγονται:
1. με ερωτηματικές ή αναφορικές αντωνυμίες
2. με ερωτηματικά ή αναφορικά επιρρήματα.
— **Λύσανδρος πρῶτον ἐρωτᾷ τί ἐστιν ἄξιος παθεῖν.**
— **Σκέψασθε, ὦ Ἀθηναῖοι, ὅσην πρόνοιαν περὶ σωφροσύνης ἐποιήσατο ὁ Σόλων.**
— **Νομίζω προσήκειν τοῦτο ἡμᾶς σκοπεῖν, ὅπως συμφέροντας νόμους τῇ πόλει θησόμεθα.**

Γ. ΑΣΚΗΣΕΙΣ

➤ 1. Στους Μύθους του Αισώπου που ακολουθούν να εντοπίσετε και να χαρακτηρίσετε τις δευτερεύουσες προτάσεις:

α΄ Μυῖα

Μυῖα ἐμπεσοῦσα εἰς χύτραν κρέως, ἐπειδὴ ὑπὸ τοῦ ζωμοῦ ἀποπνίγεσθαι ἔμελλεν, ἔφη πρὸς ἑαυτήν· «Ἀλλ᾽ ἔγωγε καὶ βέβρωκα καὶ πέπωκα καὶ λέλουμαι· κἂν ἀποθάνω, οὐδέν μοι μέλει». Ὁ λόγος δηλοῖ ὅτι ῥᾴδιον φέρουσι τὸν θάνατον οἱ ἄνθρωποι, ὅταν ἀβασανίστως παρακολουθήσῃ.

(Αἰσώπου Μῦθοι, 240 Chambry)

βέβρωκα καὶ πέπωκα	έφαγα και ήπια
ῥᾴδιον (επίρρ.)	εύκολα

β΄ Μύρμηξ καὶ κάνθαρος

Θέρους ὥρᾳ μύρμηξ περιπατῶν κατὰ τὴν ἄρουραν πυροὺς καὶ κριθὰς συνέλεγεν,

ἀποθησαυριζόμενος ἑαυτῷ τροφὴν εἰς τὸν χειμῶνα. Κάνθαρος δὲ τοῦτον θεασάμενος ἐθαύμασεν ὡς ἐπιπονώτατον, εἴ γε παρ' αὐτὸν τὸν καιρὸν μοχθεῖ παρ' ὃν τὰ ἄλλα ζῷα πόνων ἀφειμένα ῥᾳστώνην ἄγει. Ὁ δὲ τότε μὲν ἡσύχαζεν· ὕστερον δέ, ὅτε χειμὼν ἐνέστη, τῆς κόπρου ὑπὸ τοῦ ὄμβρου ἐκλυθείσης, ὁ κάνθαρος ἧκε πρὸς αὐτὸν λιμώττων καὶ τροφῆς μεταλαβεῖν δεόμενος. Ὁ δὲ ἔφη πρὸς αὐτόν· «Ὦ κάνθαρε, ἀλλ' εἰ τότε ἐπόνεις, ὅτε ἐμόχθουν καὶ ἐμὲ ὠνείδιζες, οὐκ ἂν νῦν τροφῆς ἐπεδέου».

(Αἰσώπου Μῦθοι, 243 Chambry)

τὴν ἄρουραν	τη γη
πυροὺς	κόκκους σιταριού
κάνθαρος	σκαθάρι
ἐπιπονώτατον	πάρα πολύ εργατικό
πόνων ἀφειμένα (ἀφίημι)	έχουν αφήσει τις δουλειές
ῥαστώνην ἄγει	και ξεκουράζονται (τεμπελιάζουν)
ὑπὸ τοῦ ὄμβρου	από τη βροχή
οὐκ ἂν ... ἐπεδέου (ἐπιδέομαι)	δεν θα σου έλειπε τώρα η τροφή

γ΄ Ἁλιεὺς καὶ σμαρὶς

Ἁλιεὺς τὸ δίκτυον χαλάσας ἐν τῇ θαλάσσῃ ἀνήνεγκε σμαρίδα. Σμικρὰ δὲ οὖσα ἱκέτευεν αὐτὸν νῦν μὲν μὴ λαβεῖν αὐτήν, ἀλλ' ἐᾶσαι, διὰ τὸ σμικρὰν τυγχάνειν. «Ἀλλ' ὅταν αὐξηθῶ καὶ μεγάλη, φησί, γένωμαι, συλλαβεῖν με δυνήσῃ, ἐπεὶ καὶ εἰς μείζονά σοι ὠφέλειαν ἔσομαι». Καὶ ὁ ἁλιεὺς εἶπεν· «Ἀλλ' ἔγωγε ἄνους ἂν εἴην, εἰ τὸ χερσὶ παρεὶς κέρδος, κἂν σμικρὸν ᾖ, τὸ προσδοκώμενον κἂν μέγα ὑπάρχῃ, ἐλπίζοιμι».

Ὁ μῦθος δηλοῖ ὅτι ἀλόγιστος ἂν εἴη ὁ δι' ἐλπίδα μείζονος τὰ ἐν χερσὶν ἀφεὶς σμικρὰ ὄντα.

(Αἰσώπου Μῦθοι, 26 Chambry)

σμαρὶς	μαρίδα
τὸ δίκτυον χαλάσας ἀνήνεγκεν (ἀναφέρω)	έριξε το δίχτυ και έβγαλε
παρεὶς (παρίημι)	αφήσω, παραβλέψω

δ΄ Πατὴρ και θυγατέρες

Ἔχων τις δύο θυγατέρας, τὴν μὲν κηπουρῷ ἐξέδωκε πρὸς γάμον, τὴν δὲ ἑτέραν κεραμεῖ. Χρόνου δὲ προελθόντος, ἧκεν ὡς τὴν τοῦ κηπουροῦ καὶ ταύτην ἠρώτα πῶς ἔχοι καὶ ἐν τίνι αὐτοῖς εἴη τὰ πράγματα. Τῆς δὲ εἰπούσης πάντα μὲν αὐτοῖς παρεῖναι, ἓν δὲ τοῦτο εὔχεσθαι τοῖς θεοῖς ὅπως χειμὼν γένηται καὶ ὄμβρος, ἵνα τὰ λάχανα ἀρδευθῇ, μετ' οὐ πολὺ παρεγένετο πρὸς τὴν τοῦ κεραμέως καὶ αὐτῆς ἐπυνθάνετο πῶς ἔχοι. Τῆς δὲ τὰ μὲν ἄλλα μὴ ἐνδεῖσθαι εἰπούσης, τοῦτο δὲ μόνον εὔχεσθαι, ὅπως αἰθρία τε λαμ-

πρὰ ἐπιμείνῃ καὶ λαμπρὸς ἥλιος, ἵνα ξηρανθῇ ὁ κέραμος, εἶπε πρὸς αὐτήν· «Ἐὰν σὺ μὲν εὐδίαν ἐπιζητῇς, ἡ δὲ ἀδελφή σου χειμῶνα, ποτέρᾳ ὑμῶν συνεύξομαι;»

(Αἰσώπου Μῦθοι, 299 Chambry)

κεραμεῖ	σε αγγειοπλάστη, κεραμιδά
ὡς	προς, μέχρι
παρεῖναι	ότι έχουν
χειμὼν	κακοκαιρία
μὴ ἐνδεῖσθαι (ἐνδέομαι)	ότι δεν τους λείπει
εὐδίαν	καλοκαιρία

➤ 2. Στα κείμενα που ακολουθούν να βρείτε τις δευτερεύουσες προτάσεις, να τις χαρακτηρίσετε και να σημειώσετε την εξάρτηση και την εκφορά τους:

α΄

Καὶ πρῶτος ὁ Σόλων «ἀλλ' ἀκήκοας μέν», εἶπεν, «ὦ Μνησίφιλε, μετὰ πάντων Ἀθηναίων ἣν ἔχω γνώμην περὶ πολιτείας· εἰ δὲ βούλει καὶ νῦν ἀκούειν, δοκεῖ μοι πόλις ἄριστα πράττειν καὶ μάλιστα σῴζειν δημοκρατίαν, ἐν ᾗ τὸν ἀδικήσαντα τοῦ ἀδικηθέντος οὐδὲν ἧττον οἱ μὴ ἀδικηθέντες προβάλλονται καὶ κολάζουσι.»

Δεύτερος δ' ὁ Βίας ἔφησε κρατίστην εἶναι δημοκρατίαν ἐν ᾗ πάντες ὡς τύραννον φοβοῦνται τὸν νόμον.

Ἐπὶ τούτῳ Θαλῆς τὴν μήτε πλουσίους ἄγαν μήτε πένητας ἔχουσαν πολίτας.

Μετὰ δὲ τοῦτον ὁ Ἀνάχαρσις ἐν ᾗ τῶν ἄλλων ἴσων νομιζομένων ἀρετῇ τὸ βέλτιον ὁρίζεται, καὶ κακίᾳ τὸ χεῖρον.

Πέμπτος δ' ὁ Κλεόβουλος ἔφη μάλιστα σωφρονεῖν δῆμον ὅπου τὸν ψόγον μᾶλλον οἱ πολιτευόμενοι δεδοίκασιν ἢ τὸν νόμον.

Ἕκτος δ' ὁ Πιττακός, ὅπου τοῖς πονηροῖς οὐκ ἔξεστιν ἄρχειν καὶ τοῖς ἀγαθοῖς οὐκ ἔξεστι μὴ ἄρχειν.

Μεταστραφεὶς δ' ὁ Χίλων ἀπεφήνατο τὴν μάλιστα νόμων ἥκιστα δὲ ῥητόρων ἀκούουσαν πολιτείαν ἀρίστην εἶναι.

Τελευταῖος δὲ πάλιν ὁ Περίανδρος ἐπικρίνων ἔφη δοκεῖν αὐτῷ πάντας ἐπαινεῖν δημοκρατίαν τὴν ὁμοιοτάτην ἀριστοκρατίᾳ.

(Πλούταρχος, Τῶν ἑπτὰ σοφῶν συμπόσιον, 154 d-f)

οὐδὲν ἧττον προβάλλονται	εξ ίσου (με τον αδικημένο) κατηγορούν
ἥκιστα	ελάχιστα, σχεδόν καθόλου

β΄

Ἀλέξανδρος δὲ ὡς ἐς Γόρδιον παρῆλθε, πόθος λαμβάνει αὐτὸν ἀνελθόντα ἐς τὴν ἄκραν, ἵνα τὴν ἅμαξαν ἰδῇ τὴν Γορδίου καὶ τοῦ ζυγοῦ τῆς ἁμάξης τὸν δεσμόν. Τόδε περὶ τῆς ἁμάξης ἐμυθεύετο, ὅστις λύσειε τοῦ ζυγοῦ τῆς ἁμάξης τὸν δεσμόν, τοῦτον χρῆναι ἄρξαι τῆς Ἀσίας. Ἦν δὲ ὁ δεσμὸς ἐκ φλοιοῦ κρανείας, καὶ τούτου οὔτε τέλος οὔτε ἀρχὴ ἐφαίνετο. Ἀλέξανδρος δὲ ὡς ἀπόρως μὲν εἶχεν ἐξευρεῖν λύσιν τοῦ δεσμοῦ, ἄλυτον δὲ περιιδεῖν οὐκ ἤθελε, μή τινα καὶ ταῦτα ἐς τοὺς πολλοὺς κίνησιν ἐργάσηται, λέγουσιν ὅτι παίσας τῷ ξίφει διέκοψε τὸν δεσμὸν καὶ λελύσθαι ἔφη.

(Ἀρριανός, Ἀνάβασις Ἀλεξάνδρου, III, 1-7)

ἐς τὴν ἄκραν	στην ακρόπολη
τὸν δεσμὸν	τον κόμπο
κρανείας	κρανιάς (δέντρο)
περιιδεῖν	να παραβλέψει, να αφήσει
κίνησιν	(ανα)ταραχή, εξέγερση
παίσας (παίω)	αφού χτύπησε

γ΄

Πολλάκις ἐθαύμασα τίσι ποτὲ λόγοις Ἀθηναίους ἔπεισαν οἱ γραψάμενοι Σωκράτην ὡς ἄξιος εἴη θανάτου τῇ πόλει. Ἡ μὲν γὰρ γραφὴ κατ᾽ αὐτοῦ τοιάδε τις ἦν· ἀδικεῖ Σωκράτης οὓς μὲν ἡ πόλις νομίζει θεοὺς οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσφέρων· ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων.

(Ξενοφῶν, Ἀπομνημονευμάτων Α, 1)

οἱ γραψάμενοι	αυτοί που τον κατηγόρησαν, κατήγγειλαν
ἡ γραφὴ	η καταγγελία
νομίζει	παραδέχεται, αναγνωρίζει
καινὰ δαιμόνια	νέες θεότητες, νέα πνεύματα, νέους δαίμονες

δ΄

Ἐγὼ καὶ πάλαι σοι ἔλεγον ὅτι ἡ γεωργία οὕτω φιλάνθρωπός ἐστι καὶ πραεῖα τέχνη ὥστε καὶ ὁρῶντας καὶ ἀκούοντας ἐπιστήμονας εὐθὺς ἑαυτῆς ποιεῖν. Πολλὰ δ᾽, ἔφη, καὶ αὐτὴ διδάσκει ὡς ἂν κάλλιστά τις αὐτῇ χρῷτο. Αὐτίκα ἄμπελος ἀναβαίνουσα μὲν ἐπὶ τὰ δένδρα, ὅταν ἔχῃ τι πλησίον δένδρον, διδάσκει ἱστάναι αὐτήν· περιπεταννύουσα

δὲ τὰ οἴναρα, ὅταν ἔτι αὐτῇ ἁπαλοὶ οἱ βότρυες ὦσι, διδάσκει σκιάζειν τὰ ἡλιούμενα ταύτην τὴν ὥραν· ὅταν δὲ καιρὸς ᾖ ὑπὸ τοῦ ἡλίου ἤδη γλυκαίνεσθαι τὰς σταφυλάς, φυλλορροοῦσα διδάσκει ἑαυτὴν ψιλοῦν καὶ πεπαίνειν τὴν ὀπώραν.

(Ξενοφῶν, Οἰκονομικός XIX, 17-19)

περιπεταννύουσα δὲ τὰ οἴναρα	καθώς απλώνει γύρω τα φύλλα
ψιλοῦν ἑαυτὴν	να την απογυμνώσουν, να την ξεφυλλίσουν
πεπαίνειν τὴν ὀπώραν	να ωριμάσει ο καρπός

ε΄

Τοῦτό ἐστι τὸ πλοῖον, ὥς φασιν Ἀθηναῖοι, ἐν ᾧ Θησεύς ποτε εἰς Κρήτην τοὺς δὶς ἑπτὰ ἐκείνους ᾤχετο ἄγων καὶ ἔσωσέ τε καὶ αὐτὸς ἐσώθη. Τῷ οὖν Ἀπόλλωνι εὔξαντο, ὡς λέγεται, τότε, εἰ σωθεῖεν, ἑκάστου ἔτους θεωρίαν ἀπάξειν εἰς Δῆλον· ἣν δὴ ἀεὶ καὶ νῦν ἔτι ἐξ ἐκείνου κατ' ἐνιαυτὸν τῷ θεῷ πέμπουσιν. Ἐπειδὰν οὖν ἄρξωνται τῆς θεωρίας, νόμος ἐστὶν αὐτοῖς ἐν τῷ χρόνῳ τούτῳ καθαρεύειν τὴν πόλιν καὶ δημοσίᾳ μηδένα ἀποκτιννύναι, πρὶν ἂν εἰς Δῆλόν τε ἀφίκηται τὸ πλοῖον καὶ πάλιν δεῦρο. Τοῦτο δ' ἐνίοτε ἐν πολλῷ χρόνῳ γίγνεται, ὅταν τύχωσιν ἄνεμοι ἀπολαβόντες αὐτούς. Ἀρχὴ δ' ἐστὶ τῆς θεωρίας, ἐπειδὰν ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος στέψῃ τὴν πρύμναν τοῦ πλοίου· τοῦτο δ' ἔτυχεν, ὥσπερ λέγω, τῇ προτεραίᾳ τῆς δίκης γεγονός. Διὰ ταῦτα καὶ πολὺς χρόνος ἐγένετο τῷ Σωκράτει ἐν τῷ δεσμωτηρίῳ ὁ μεταξὺ τῆς δίκης τε καὶ τοῦ θανάτου.

(Πλάτων, Φαίδων 58a-c)

θεωρίαν	πρεσβεία, αντιπροσωπεία
ἀποκτιννύναι	να εκτελέσουν
δεῦρο	προς τα εδώ, πίσω
ἀπολαβόντες	να τους εμποδίσουν
στέψῃ	όταν στολίσει με δάφνινα στεφάνια

ΕΝΟΤΗΤΑ 8

ΥΠΟΘΕΤΙΚΟΙ ΛΟΓΟΙ

Στο παρακάτω κείμενο να βρείτε τις υποθετικές προτάσεις και να μελετήσετε τη λειτουργία τους:

Παρέταττε δὲ αὐτοὺς αὐτὸς ὁ βασιλεὺς ἐφ' ἅρματος παρελαύνων καὶ τοιάδε παρεκελεύετο: Ἄνδρες Ἀσσύριοι, νῦν δεῖ ἄνδρας ἀγαθοὺς εἶναι· εἰ νικήσετε, ἁπάντων τούτων ὑμεῖς, ὥσπερ πρόσθεν, κύριοι ἔσεσθε· εἰ δ' ἡττηθήσεσθε, ταῦτα πάντα οἱ πολέμιοι λήψονται. Ἅτε οὖν νίκης ἐρῶντες μένοντες μάχεσθε. Εἴ τις μὲν ζῆν βουλόμενος φεύγειν ἐπιχειρεῖ, οὗτος μῶρός ἐστιν εἰδὼς ὅτι οἱ μὲν νικῶντες σῴζονται, οἱ δὲ φεύγοντες ἀποθνήσκουσι. Εἴ τις δὲ χρημάτων ἐπιθυμῶν ἧττον προσίεται, οὗτος προδότης τῆς ἑαυτοῦ πατρίδος ἐστίν.

(Ξενοφῶντος Κύρου Παιδεία, Γ΄, III, 44-45, διασκευή)

τοιάδε παρεκελεύετο (παρακελεύομαι)	με τέτοια λόγια τους παρότρυνε
Ἅτε οὖν νίκης ἐρῶντες (ἐρῶ)	επειδή λοιπόν επιθυμείτε πολύ τη νίκη
προσίεται (προσίεμαι)	αποδέχεται, δέχεται

- Κάθε υποθετική πρόταση ακολουθείται πάντοτε και από μια άλλη πρόταση, συνήθως κύρια, και δημιουργεί μαζί της μια λογική ενότητα, στα πλαίσια της οποίας εκφράζεται η σχέση: *προϋπόθεση / αίτιο → συνέπεια / αποτέλεσμα.*
- Η λογική αυτή ενότητα καλείται *υποθετικός λόγος* και τα δύο μέρη, από τα οποία απαρτίζεται, καλούνται αντίστοιχα *υπόθεση* (= η υποθετική πρόταση / προϋπόθεση) και *απόδοση (*= η κύρια πρόταση / αποτέλεσμα).
- Οι υποθετικοί λόγοι διακρίνονται, ανάλογα με τη σημασία που εκφράζει ο συλλογισμός, σε έξι βασικά είδη, τα οποία εκφέρονται με διαφορετικούς τρόπους. (Για τους υποθετικούς λόγους βλ. και τις παραγρ. 167-170 του Σ.Α.Ε).

ΤΟ ΠΡΑΓΜΑΤΙΚΟ ΚΑΙ ΤΟ ΑΝΤΙΘΕΤΟ ΤΟΥ ΠΡΑΓΜΑΤΙΚΟΥ

Α. ΥΛΙΚΟ ΓΙΑ ΕΠΕΞΕΡΓΑΣΙΑ

Να μελετήσετε τα παρακάτω παραδείγματα:

I. ● Εἰ μὲν ἐλπίς ἐστιν ὑμῖν σωθῆναι, μὴ παραδίδοτε τὰ ὅπλα.
● Εἴ τις ἄλλους ἀδικεῖ, ἑαυτὸν ἀδικεῖ.
● Εἰ δέ τις ἄλλο ὁρᾷ βέλτιον, λεξάτω (= ας το πει).
● Εἰ τὰ χρήματα τοῖς στρατευομένοις ἀποδώσετε, οὐδενὸς ὑμῖν προσδεῖ πόρου (= δεν έχετε ανάγκη από πρόσθετη χρηματοδότηση).

II. ● Εἰ τοῦτο ἐποιοῦμεν, ἅπαντες ἂν ἀπωλόμεθα (= όλοι θα είχαμε χαθεί).
● Εἰ μὴ ἐγὼ ἐκέλευσα, οὐκ ἂν ἐποίησεν Ἀγησίλαος.
● Ἥλιος εἰ μὴ ἦν, ἐν νυκτὶ ἂν διήγομεν (= θα ζούσαμε σε συνεχή νύχτα).
● Εἰ γὰρ οἷόν τ' ἦν ἀθανάτους εἶναι (= αν ήταν δυνατόν να παραμείνουν αθάνατοι), ἄξιον ἦν πενθεῖν τοὺς ἐν τῷ πολέμῳ τούτῳ πεσόντας.

Β. ΠΑΡΑΤΗΡΗΣΕΙΣ

I. **Το πραγματικό.** Αν η σχέση που εκφράζεται με τον υποθετικό λόγο θεωρείται από την πλευρά του ομιλητή ως κάτι το πραγματικό, τότε η υπόθεση εισάγεται με το **εἰ** και εκφέρεται με **οριστική οποιουδήποτε χρόνου,** ενώ η απόδοση εκφέρεται με *οποιαδήποτε έγκλιση* (βλ. τα τέσσερα πρώτα παραδείγματα).

II. **Το αντίθετο του πραγματικού.** Αν η σχέση που εκφράζεται με τον υποθετικό λόγο θεωρείται ότι είναι κάτι αντίθετο από αυτό που συμβαίνει στην πραγματικότητα, τότε η υπόθεση εισάγεται με το **εἰ** και εκφέρεται με *οριστική παρελθοντικού χρόνου*, ενώ η απόδοση εκφέρεται με *δυνητική οριστική, δηλαδή οριστική παρελθοντικού χρόνου* + ***ἄν***. Αν όμως στην απόδοση υπάρχει απρόσωπο ρήμα ή απρόσωπη έκφραση, τότε παραλείπεται συνήθως το δυνητικό **ἄν** (βλ. τα τέσσερα τελευταία παραδείγματα).

Γ. ΑΣΚΗΣΕΙΣ

➤ Να αναγνωρίσετε το είδος των υποθετικών λόγων στα επόμενα παραδείγματα:

1. Εἰ Ἕκτορα ἀποκτενεῖς, καὶ αὐτὸς (= και συ ο ίδιος) ἀποθανεῖ.
2. Εἰ ὑπὲρ τῶν μεγίστων εἴρηκα (= έχω μιλήσει), οὐ δεῖ περὶ τῶν φαύλων σπουδάζειν.
3. Εἰ μὴ ἐβούλοντο οἱ κατήγοροι κακῶς ἐμὲ ποιεῖν, πολλὴν ἂν αὐτοῖς χάριν εἶχον ταύτης τῆς κατηγορίας (= γι' αυτή την κατηγορία).
4. Εἰ τὰ ψηφίσματα αὐτάρκη ἦν, πάλαι ἂν ὁ τύραννος δίκην ἐδεδώκει (= από πολύ καιρό ο τύραννος θα είχε τιμωρηθεί).

➤ Να συμπληρώσετε τα κενά με τους κατάλληλους τύπους των ρημάτων που είναι σε παρένθεση:

1. Εἰ μὴ εἴχομεν ὀφθαλμούς, ὅμοιοι τοῖς τυφλοῖς ἂν ..... (εἰμί).
2. Εἴ τις ἀδικεῖ καὶ ἐπιορκεῖ καὶ ψεύδεται, οὐ ..... (δύναμαι) εὐδαιμονεῖν.
3. Εἰ πάντες οἱ ἄνθρωποι ἀλλήλους ..... (φιλῶ = αγαπώ), κάλλιστος ἂν ἦν ὁ βίος.
4. Εἰ οἱ Ὀλύνθιοι πεισθέντες ὑφ' ὑμῶν ἀνείλοντο (= ανελάμβαναν) τὸν πόλεμον, σφαλεροὶ (= αβέβαιοι) σύμμαχοι ἂν ..... (εἰμί).
5. Εἰ ἄλλον εἵλεσθε (= αν εκλέγατε άλλον) στρατηγὸν οὐκ ἂν ἐγὼ ..... (πολεμῶ).
6. Εἰ ..... (πιστεύω = έχω εμπιστοσύνη) αὐτῷ, δεῖ ποιεῖν ἡμᾶς ἅπαντα, ὅσα συμβουλεύει.

➤ Να αποδώσετε στην κοινή νεοελληνική τα παρακάτω κείμενα (προσοχή στους υποθετικούς λόγους):

1. Λύκος ἰδὼν ποιμένας ἐσθίοντας ἐν σκηνῇ πρόβατον, ἐγγὺς προσελθὼν ἔφη· «ἡλίκος ἂν ἦν ὑμῖν θόρυβος, εἰ ἐγὼ τοῦτο ἐποίουν».

ἐσθίοντας (ἐσθίω)	να τρώνε
ἡλίκος	πόσο μεγάλος

2. Πρόβατον ἀφυῶς κειρόμενον πρὸς τὸν κείροντα ἔφη· «εἰ μὲν ἔρια ζητεῖς, ἀνωτέρω τέμνε· εἰ δὲ κρεῶν ἐπιθυμεῖς, ἅπαξ με καταθύσας τοῦ κατὰ μικρὸν βασανίζειν ἀπάλλαξον».

ἀφυῶς κειρόμενον	που το κούρευαν αδέξια
πρὸς τὸν κείροντα	σ' εκείνον που το κούρευε
ἔρια (ἔριον, τὸ)	μαλλιά
ἀνωτέρω τέμνε	κόψε λίγο πιο πάνω
ἅπαξ με καταθύσας	αφού με σφάξεις μια κι έξω

3. Κριθὴν τὴν τοῦ ἵππου ὁ ἱπποκόμος κλέπτων καὶ πωλῶν τὸν ἵππον ἔτριβεν καὶ ἐκτένιζεν πᾶσαν ἡμέραν. Ἔφη δὲ ὁ ἵππος· «εἰ ἐθέλεις ἀληθῶς καλὸν εἶναί με, τὴν κριθὴν τὴν τρέφουσάν με μὴ πώλει».

ἔτριβεν	ξύστριζε, περιποιόταν
καλὸν	όμορφον, ωραίον

4. Λύκος κατά τινα ἄρουραν ὁδεύων κριθὰς εὗρε· μὴ δυνάμενος δὲ αὐταῖς τροφῇ χρήσασθαι, καταλιπὼν ἀπῄει. Ἵππῳ δὲ συντυχών, τοῦτον ἐπὶ τὴν ἄρουραν ἐπήγαγε λέγων ὡς εὑρὼν κριθὰς αὐτὸς μὲν οὐκ ἔφαγεν, αὐτῷ δὲ ἐφύλαξεν, ἐπεὶ καὶ ἡδέως αὐτοῦ τὸν ψόφον τῶν ὀδόντων ἀκούει. Καὶ ὁ ἵππος ὑποτυχὼν εἶπεν· «ἀλλ' ὦ οὗτος, εἰ λύκοι κριθῶν τροφῇ χρῆσθαι ἠδύναντο, οὐκ ἄν ποτε τὰ ὦτα τῆς γαστρὸς προέκρινας».

κατά τινα ἄρουραν ὁδεύων	περπατώντας σ' ένα χωράφι
καταλιπὼν ἀπῄει	τα παράτησε και έφυγε
Ἵππῳ δὲ συντυχών	όταν συνάντησε ένα άλογο
ἐπήγαγε (ἐπάγω)	οδήγησε
ἐπεὶ... ἀκούει	γιατί με ευχαρίστηση ακούει τον κρότο των δοντιών του
ὑποτυχὼν (ὑποτυγχάνω)	απαντώντας, δίνοντας απάντηση
οὐκ ἂν προέκρινας (προκρίνω)	δε θα προτιμούσες

(Αἰσώπου Μῦθοι, διασκευές)

ΕΝΟΤΗΤΑ 9

ΥΠΟΘΕΤΙΚΟΙ ΛΟΓΟΙ
ΤΟ ΠΡΟΣΔΟΚΩΜΕΝΟ ΚΑΙ Η ΑΟΡΙΣΤΗ ΕΠΑΝΑΛΗΨΗ ΣΤΟ ΠΑΡΟΝ ΚΑΙ ΜΕΛΛΟΝ

Α. ΥΛΙΚΟ ΓΙΑ ΕΠΕΞΕΡΓΑΣΙΑ

Να μελετήσετε τα παρακάτω παραδείγματα:

I. ● Ἐάν τι κακὸν ἐπιτηδεύσωσιν (= κάνουν), οὔθ' οἱ δυνατοὶ οὔθ' οἱ ἀσθενεῖς, ἐν ἀγαθῇ πολιτείᾳ, ἀπολυθήσονται τῆς τιμωρίας.
● Οἱ ἡγεμόνες (= οι οδηγοί) τῆς ὁδοῦ, ἤν τι περὶ ἡμᾶς ἁμάρτωσιν (= αν κάνουν κάποιο σφάλμα εις βάρος μας), εἴσονται (= θα γνωρίζουν) ὅτι περὶ τὰ ἑαυτῶν σώματα (= για τη δική τους ζωή) ἁμαρτήσονται.
● Ἦν φύγῃ Ἀβροκόμας, ἕλεσθε (= να εκλέξετε) ἄλλον ἡγεμόνα (= αρχηγό).
● Ἂν Θεὸς ἐθέλῃ, ῥᾳδίως κρατήσομεν τῶν πολεμίων.

II. ● Ἐὰν τὰ ἀδύνατα θηρεύῃς (= επιδιώκεις), δυστυχίαν τῷ σῷ βίῳ παρέχεις.
● Ἐὰν οἱ ἄνθρωποι τὴν δίκην (= τη δικαιοσύνη) καταλύωσιν, ἀσφάλειαν οὐκ ἔχουσι.
● Ἤν τις τούτων τι παραβαίνῃ (= κάνει κάποια παράβαση) ζημίαν αὐτοῖς ἐπέθεσαν (= τους τιμωρούν).
● Ἐὰν οἱ πολῖται τοῖς ἄρχουσι πείθωνται, ἄριστα αἱ πόλεις οἰκοῦνται (= διοικούνται).

Β. ΠΑΡΑΤΗΡΗΣΕΙΣ

Τα παραπάνω παραδείγματα είναι υποθετικοί λόγοι που δηλώνουν:

I. **Το προσδοκώμενο,** δηλαδή κάτι που κατά την κρίση του ομιλητή αναμένεται ότι θα επακολουθήσει, εφόσον τεθεί μια προϋπόθεση. Στο προσδοκώμενο *η υπόθεση* εισάγεται με *ἐάν, ἄν, ἢν* και εκφέρεται με *υποτακτική,* ενώ η απόδοση εκφέρεται με *οριστική μέλλοντα* ή με κάποια *ισοδύναμη έκφραση* (όπως π.χ. προστακτική, δυνητική ευκτική κ.ά.).

II. **Την αόριστη επανάληψη στο παρόν και το μέλλον,** δηλαδή κάτι που ο ομιλητής θεωρεί ότι θα επαναλαμβάνεται αόριστα στο παρόν και το μέλλον. Στο

είδος αυτό η υπόθεση εισάγεται με *ἐάν, ἄν, ἤν* και εκφέρεται με *υποτακτική* και η απόδοση εκφέρεται με *οριστική ενεστώτα* ή με ισοδύναμη έκφραση (συνήθως με γνωμικό αόριστο).

Γ. ΑΣΚΗΣΕΙΣ

➤ Να συμπληρώσετε τα κενά με τους κατάλληλους τύπους των ρημάτων που είναι σε παρένθεση:

1. Ἐὰν τοῦτον ἀποκτείνητε, ... (βλάπτω) ὑμᾶς αὐτούς (= τους εαυτούς σας).
2. Ἂν ἐγγὺς ἔλθῃ θάνατος, οὐδεὶς ..... (βούλομαι) θνῄσκειν.
3. Ἐὰν τὰ ἀγαθὰ ..... (πράττω), χαρὰν μεγάλην τῇ μητρὶ καὶ τῷ πατρὶ παρέχομεν.
4. Ἀπολούμεθα (= θα καταστραφούμε), ἐὰν μίαν ἔτι τοιαύτην νίκην ..... (νικῶ).
5. Ἐὰν τὰ ὅπλα παραδῶτε, σπονδαὶ ..... (εἰμί).
6. Ἐάν τις, παῖς ὤν, καλῶς ..... (παιδεύομαι), ἀνὴρ ὤν, τὰ καλὰ ἐπιτηδεύει (= με τα καλά ασχολείται).

➤ Να σχηματίσετε υποθετικούς λόγους συνδυάζοντας κατάλληλα την υπόθεση της πρώτης στήλης με την αντίστοιχη απόδοση που υπάρχει στη δεύτερη στήλη (όπως στο παράδειγμα):

1. Νέος ἂν πονήσῃς (= αν κοπιάσεις),	α) τὴν ὄψιν ἀφαιρεῖται (= χάνει το φως του).
2. Ἐάν τις τὸν ἥλιον ἀναιδῶς ἐγχειρῇ θεάσασθαι (= προσπαθεί να κοιτάξει κατά πρόσωπο),	β) δικαίως οὗτος τιμωρηθήσεται.
3. Ἐὰν πάντα ἀκούσητε,	γ) γῆρας ἕξεις εὐτυχές.
4. Ἂν βασιλεὺς ἀποθάνῃ,	δ) ὑμεῖς ἐκεῖ πολεμήσετε.
5. Ἐὰν θεὸς ἐθέλῃ,	ε) κρίνατε.
6. Ἐὰν ἀντέχῃ τὰ τῶν Ὀλυνθίων (= αν αντέχουν οι Ολύνθιοι),	στ) τότε βουλευσόμεθα (=θα αποφασίσουμε) περὶ τοῦ μέλλοντος.

1. — γ
2. — ……
3. — ……
4. — ……
5. — ……
6. — ……

➤ Να αποδώσετε τα κείμενα στην κοινή νεοελληνική γλώσσα, αφού πρώτα αναγνωρίσετε τους υποθετικούς λόγους που υπάρχουν σ' αυτά:

1. Λύκος ὑπὸ κυνῶν δηχθεὶς καὶ κακῶς διατεθεὶς ἐβέβλητο τροφὴν ἑαυτῷ περιποιεῖσθαι μὴ δυνάμενος· καὶ δὴ θεασάμενος πρόβατον, τούτου ἐδεήθη ὕδωρ αὐτῷ κομίσαι ἐκ τοῦ παραρρέοντος ποταμοῦ. «ἐὰν γὰρ σύ μοι ὕδωρ δῶς, ἐγὼ τὴν τροφὴν ἐμαυτῷ εὑρήσω». Τὸ δὲ πρόβατον ἔφη· «ἐὰν ὕδωρ σοι κομίσω ἐγώ, σὺ καὶ τροφῇ μοι χρήσῃ».

λύκος... ἐβέβλητο	λύκος δαγκωμένος από σκυλιά και όντας σε κακή κατάσταση είχε πέσει καταγής
τούτου ἐδεήθη (δέομαι)	του ζήτησε
σὺ καὶ τροφῇ μοι χρήσῃ	θα σου χρησιμεύσω και για τροφή / θα με χρησιμοποιήσεις και ως τροφή

2. Ἀλώπηξ εἰς ἀγέλην προβάτων εἰσελθοῦσα καὶ ἀναλαβοῦσα ἓν τῶν θηλαζόντων ἀρνίων, προσεποιεῖτο καταφιλεῖν. Ἐρωτηθεῖσα δὲ ὑπὸ κυνὸς τί τοῦτο ποιεῖ· «τιθηνοῦμαι αὐτό, ἔφη, καὶ προσπαίζω». Καὶ ὁ κύων ἔφη· «καὶ νῦν, ἐὰν μὴ ἀφῇς τὸ ἀρνίον ἀφ' ἑαυτῆς, τὰ κυνῶν σοι προσοίσω».

τιθηνοῦμαι αὐτὸ	το ντάντεύω, το περιποιούμαι
ἀφ' ἑαυτῆς	από μόνη σου
τὰ κυνῶν σοι προσοίσω (προσφέρω)	θα σου προσφέρω (την περιποίηση) των σκυλιών, θα σου δείξω πώς χαϊδεύουν τα σκυλιά

(Αἰσώπου Μῦθοι, διασκευές)

ΕΝΟΤΗΤΑ 10

ΥΠΟΘΕΤΙΚΟΙ ΛΟΓΟΙ
ΑΠΛΗ ΣΚΕΨΗ ΚΑΙ ΑΟΡΙΣΤΗ ΕΠΑΝΑΛΗΨΗ
ΣΤΟ ΠΑΡΕΛΘΟΝ

Α. ΥΛΙΚΟ ΓΙΑ ΕΠΕΞΕΡΓΑΣΙΑ

Να μελετήσετε τα παρακάτω παραδείγματα:

I. ● Εἰ δέοι (= χρειάζεται, είναι ανάγκη) πολεμεῖν, ἄμεινον ἂν πολεμοῖμεν ἔχοντες τὰ ὅπλα ἢ παραδόντες.
   ● Εἴ τις περιέλοιτο (= αν κανείς αφαιρούσε) τῆς ποιήσεως πάσης τό τε μέλος (= μελωδία) καὶ τὸν ῥυθμὸν καὶ τὸ μέτρον, λόγοι γίγνονται τὰ λειπόμενα.
   ● Δυστυχέστατος τῶν ἀνθρώπων ἂν εἴην, εἰ τῆς πατρίδος ἀποστερηθείην.
   ● Ἐπιλείποι ἂν ἡμᾶς ὁ πᾶς χρόνος (= δεν θα αρκούσε σε μας ο χρόνος), εἰ τὰς Ἡρακλέους πράξεις ἁπάσας καταριθμησαίμεθα (= απαριθμούσαμε, διηγούμαστε με λεπτομέρεια).

II. ● Κίμων, εἴ τινι ὑπόσχοιτό τι, οὐδαμῶς ἐψεύδετο.
   ● Εἴ τις καλῶς ὑπηρετήσειε Φιλίππῳ, οὐδενὶ ἂν εἴασε (*ἐῶ* = αφήνω) τὴν προθυμίαν ἀχάριστον (= χωρίς ανταμοιβή).
   ● Εἴ τις Κύρῳ δοκοίη βλακεύειν (= έδινε την εντύπωση ότι συμπεριφερόταν βλακωδώς), ἔπαισεν ἄν (*παίω* = χτυπώ).
   ● Οἱ Ἕλληνες τὸ πάλαι, εἴ βούλοιντο εἰς λόγους ἐλθεῖν πρὸς ἀλλήλους (= όταν ήθελαν να έρθουν σε διαπραγματεύσεις), κήρυκας ἔπεμπον.

Β. ΠΑΡΑΤΗΡΗΣΕΙΣ

Τα παραπάνω παραδείγματα είναι υποθετικοί λόγοι που δηλώνουν:

I. **Την απλή σκέψη,** δηλαδή κάτι που κατά την κρίση του ομιλητή είναι δυνατόν να γίνει, χωρίς όμως να τον ενδιαφέρει αν τελικά αυτό θα πραγματοποιηθεί. Στην απλή σκέψη, η υπόθεση εισάγεται με το **εἰ** και εκφέρεται με *ευκτική* και η απόδοση συνήθως με *δυνητική ευκτική* (= ευκτική + **ἄν**) ή, σπανιότερα, με *οριστική αρκτικού χρόνου.*

II. **Την επανάληψη στο παρελθόν,** δηλαδή κάτι που επαναλαμβανόταν στο παρελθόν. Στο είδος αυτό η υπόθεση εισάγεται με το **εἰ** και εκφέρεται με *ευκτική* και η απόδοση με *οριστική παρατατικού* ή με *δυνητική οριστική αορίστου* (= οριστική αορίστου + **ἄν**).

Γ. ΑΣΚΗΣΕΙΣ

➤ Να συμπληρώσετε τα κενά με τους κατάλληλους τύπους των ρημάτων που είναι σε παρένθεση:

1. Εἰ οἱ πολῖται ..... (ὁμονοῶ) ἀλλήλοις, εὐνομουμένη γίγνοιτο ἂν ἡ πόλις.
2. Εἰ ἡμᾶς αὐτοὺς δεήσειεν (= χρειαζόταν, ήταν ανάγκη) τριάκονθ' ἡμέρας ἔξω γενέσθαι, οἱ γεωργοῦντες (= οι γεωργοί) ἡμῶν πολλὰ ἂν ..... (ζημιοῦμαι).
3. Εἴ τις ἐν Λακεδαίμονι ποιοίη τι φαῦλον, οὗτος ..... (δοκεῖ) ἀχρεῖος εἶναι.
4. ..... (βούλομαι) ἂν σπείσασθαί σοι (= να συνάψω ανακωχή μαζί σου), ὦ Τισσάφερνες, εἰ μὴ οἰοίμην (= αν δεν πίστευα) ὑπὸ σοῦ ἐξαπατᾶσθαι.

➤ Να σχηματίσετε υποθετικούς λόγους συνδυάζοντας κατάλληλα την υπόθεση της πρώτης στήλης με την αντίστοιχη απόδοση που υπάρχει στη δεύτερη στήλη (όπως στο παράδειγμα):

1. Εἴ τις ἆθλα προτιθείη (= καθιέρωνε βραβεία) τοῖς γεωργοῖς,	α) μάντεις ἦσαν ἐν τῷ στρατοπέδῳ καὶ ἱερεῖς φέροντες πῦρ ἀπὸ τοῦ Διὸς βωμοῦ.
2. Εἴ τις τὴν ἐλπίδα ἐκ τοῦ βίου ἀποβάλοι,	β) ἠνάγκασαν ἂν ἡμᾶς ποιεῖν τὰ προσήκοντα (= όσα πρέπει).
3. Ἀγησίλαος εἰ τοὺς νέους γυμναζομένους ἴδοι,	γ) οὐκ ἄν τις ζῴη.
4. Εἰ μὴ τρέφοιτο,	δ) τί ἂν ἀγαθὸν ὑπολελειμμένον εἴη (= έχει απομείνει).
5. Εἰ τὰ ψηφίσματα αὐτάρκη εἶεν,	ε) πολὺ ἂν ἐπιδοίη (= θα προόδευε) ἡ γεωργία.
6. Εἰ οἱ Λακεδαιμόνιοι στρατεύοιντο ἔξω χώρας,	στ) ἐπήνεσεν ἄν.

1. — ε
2. — ……
3. — ……
4. — ……
5. — ……
6. — ……

➤ Να αποδώσετε το κείμενο στην κοινή νεοελληνική γλώσσα, αφού πρώτα αναγνωρίσετε τον υποθετικό λόγο που υπάρχει σ' αυτό:

Λαγωοί ποτε πολεμοῦντες ἀετοῖς παρεκάλουν εἰς συμμαχίαν ἀλώπεκας. Αἱ δὲ ἔφησαν· «βοηθήσαιμεν ἂν ὑμῖν, εἰ οὐ γνοῖμεν τίνες ἐστὲ καὶ τίσι πολεμεῖτε».

αἱ δὲ ἔφησαν (φημί)	κι αυτές είπαν
εἰ οὐ γνοῖμεν (γιγνώσκω)	αν δεν ξέραμε

(Αἰσώπου Μῦθοι, διασκευή)

Δ. ΑΝΑΚΕΦΑΛΑΙΩΣΗ

ΥΠΟΘΕΤΙΚΟΙ ΛΟΓΟΙ

ΕΙΔΟΣ	ΥΠΟΘΕΣΗ		ΑΠΟΔΟΣΗ
το πραγματικό	Εἰ + οριστική	κάθε χρόνου	οποιαδήποτε έγκλιση
το αντίθετο του πραγματικού		παρελθοντικού χρόνου	δυνητική οριστική παρελθοντικού χρόνου
το προσδοκώμενο	Ἐάν, ἄν, ἢν + υποτακτική		οριστική μέλλοντα ή ισοδύναμη έκφραση
αόριστη επανάληψη στο παρόν - μέλλον			οριστική ενεστώτα ή ισοδύναμη έκφραση
απλή σκέψη	Εἰ + Ευκτική		δυνητική ευκτική ή οριστ. αρκτικού χρόνου
επανάληψη στο παρελθόν			οριστική παρατατικού ή αορίστου + *ἂν*

Ε. ΑΝΑΚΕΦΑΛΑΙΩΤΙΚΕΣ ΑΣΚΗΣΕΙΣ ΣΤΟΥΣ ΥΠΟΘΕΤΙΚΟΥΣ ΛΟΓΟΥΣ

➤ Στα επόμενα παραδείγματα να τοποθετήσετε τον κατάλληλο υποθετικό σύνδεσμο:

1. Οὐκ ἂν δικαίως πιστεύοις εἶναι ἐλεύθερος, ... τυραννεύοιο ὑπὸ τῶν ἐπιθυμιῶν.
2. ..... τὴν εὐδαιμονίαν τέχναις (= με τεχνάσματα) πονηραῖς διώκῃς (= επιδιώκεις), οὐκ ἐν τῷ βίῳ εὐτυχήσεις.
3. ..... τις ἔχων πολλὰ χρήματα μὴ χρῷτο αὐτοῖς (= δεν τα χρησιμοποιεί), τι ἂν πλέον ἔχοι τοῦ πένητος;
4. Κακίστης δουλείας ἀπολυθήσῃ (= θα απαλλαγείς από τη χειρότερη μορφή δουλείας), ... ἀπολυθῇς τῶν ἐπιθυμιῶν.
5. Κάλλιστ' ἂν ζῴης, ... τὰ προσήκοντα δρῴης (*δρῶ* = πράττω, κάνω) μήτε θηρῶν (= χωρίς να επιδιώκεις) τὸν τῶν ἀνθρώπων ἔπαινον μήτε δειμαίνων (= ούτε να φοβάσαι) τὸν τῶν ἀφρόνων ψόγον.
6. ..... μὴ Ἀλέξανδρος ἦν, ἐπεθύμουν ἂν εἶναι Διογένης.
7. ..... Ἕκτορα ἀποκτενεῖς, καὶ αὐτὸς (= και συ ο ίδιος) ἀποθανεῖ.
8. ..... τις ἐν Ὀλυμπίᾳ νικήσῃ, εὐδαίμων ἔσται· εὐδαιμονέστερος δὲ ..... ἐν μάχῃ νικῶν τελευτήσῃ.

➤ Να μετατρέψετε τους ακόλουθους υποθετικούς λόγους σε όλα τα υπόλοιπα είδη:

1. Εἰ γὰρ τοὺς κρείττους νικᾷς, θαυμαστὸς εἶ.
2. Εἰ ἐποίει οὗτος τὰ δέοντα, ηὐδαιμόνει ἄν.
3. Ἐὰν καρτερίαν καὶ πειθὼ ἔχωμεν, ἀνδρείως ἀγωνιούμεθα.

➤ Να μεταφέρετε στην αρχαία Ελληνική τους υποθετικούς λόγους:

1. Αν ήμουν σοφός (δεν είμαι όμως), θα ήμουν ευτυχής *(εὐδαίμων).*
2. Όταν (κάθε φορά που) η πατρίδα κινδυνεύει, όλοι εμείς τη βοηθούμε (*βοηθῶ* + δοτ.).
3. Όταν (κάθε φορά που) η πατρίδα κινδύνευε, όλοι εμείς τη βοηθούσαμε.

4. Όταν η πατρίδα κινδυνεύσει, όλοι εμείς θα τη βοηθήσουμε.
5. Αν με εξόριζαν οι συμπολίτες μου *(φεύγω ὑπό τοῦ δήμου),* θα ήμουν πάρα πολύ δυστυχής (το θεωρώ ως ενδεχόμενο, ως σκέψη).
6. Αν κάποιος νομίζει ότι οι Λακεδαιμόνιοι είναι φοβεροί και δυσκολοπολέμητοι *(δυσπολέμητος),* είναι λογικός *(σώφρων).*

➤ Να μεταφράσετε τα επόμενα κείμενα στην κοινή νεοελληνική γλώσσα, αφού πρώτα αναγνωρίσετε τους υποθετικούς λόγους που υπάρχουν σ' αυτά:

1. Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος· ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ Πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν.

(Κατὰ Ματθαῖον 6, 14-15)

ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις	γιατί, αν συγχωρήσετε στους ανθρώπους

2. Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός· ἐὰν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται· ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρός ᾖ, ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται.

(Κατά Ματθαῖον 6, 22-23)

3. — Ἄσκει τῶν περὶ τὸ σῶμα γυμνασίων μὴ τὰ πρὸς τὴν ῥώμην ἀλλὰ τὰ πρὸς τὴν ὑγίειαν· τούτου δ' ἂν ἐπιτύχοις, εἰ λήγοις τῶν πόνων ἔτι πονεῖν δυνάμενος.
— Ἐὰν ᾖς φιλομαθής, ἔσει πολυμαθής· ἃ μὲν ἐπίστασαι, ταῦτα διαφύλαττε ταῖς μελέταις, ἃ δὲ μὴ μεμάθηκας, προσλάμβανε ταῖς ἐπιστήμαις.
— Δοκίμαζε τοὺς φίλους ἔκ τε τῆς περὶ τὸν βίον ἀτυχίας καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας· τὸ μὲν γὰρ χρυσίον ἐν τῷ πυρὶ βασανίζομεν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγιγνώσκομεν. Οὕτως ἄριστα χρήσει τοῖς φίλοις, ἐὰν μὴ προσμένῃς τὰς παρ' ἐκείνων δεήσεις, ἀλλ' αὐτεπάγγελτος αὐτοῖς ἐν τοῖς καιροῖς βοηθῇς.

(Ἰσοκράτους, Πρὸς Δημόνικον, 14, 18 και 25)

εἰ λήγεις τῶν πόνων	αν σταματάς τις ασκήσεις
προσλάμβανε ταῖς ἐπιστήμαις	να τα αποκτάς με τα διαβάσματα, με τη γνώση
καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας	και από τη συμμετοχή στους κινδύνους
διαγιγνώσκομεν	κρίνουμε, καταλαβαίνουμε
ἀλλ' αὐτεπάγγελτος... βοηθεῖς	αλλά με δική σου πρωτοβουλία τους βοηθείς στις κατάλληλες περιστάσεις

ΣΤ. ΙΔΙΑΙΤΕΡΕΣ ΠΑΡΑΤΗΡΗΣΕΙΣ ΣΤΟΥΣ ΥΠΟΘΕΤΙΚΟΥΣ ΛΟΓΟΥΣ

I. Συμβαίνει πολλές φορές να παραλείπεται μέσα στον λόγο η υπόθεση ή η απόδοση, γιατί εννοείται εύκολα από τα συμφραζόμενα. Στην περίπτωση αυτή, οι υποθετικοί λόγοι καλούνται *ελλειπτικοί*.

Π.χ. *Εἰ μὲν τὴν ῥητορικὴν ἐδίδαξεν, καλῶς ἔχει· εἰ δὲ μή, τί σοι ὄφελος* (ενν. *εἰ δὲ μὴ ἐδίδαξεν).*

Από τους ελλειπτικούς υποθετικούς λόγους προέρχονται ορισμένες φράσεις που κατέληξαν να έχουν επιρρηματική σημασία. Τέτοιες είναι π.χ.:

εἰ δὲ μὴ	= αλλιώς
εἰ μὴ	= εκτός μονάχα, παρά μόνο
εἰ μὴ ἄρα	= εκτός αν ίσως
ἐὰν μόνον	= αρκεί μόνο να
εἴ τις καὶ ἄλλος	= περισσότερο από κάθε άλλον
εἴ περ τις καὶ ἄλλος	= περισσότερο από κάθε άλλον κ.λπ.

II. Εάν ο υποθετικός λόγος εξαρτάται από κάποιο ρήμα, τότε η απόδοση μπορεί να πάρει διαφορετική μορφή από αυτήν που έχουμε μάθει ως τώρα και συγκεκριμένα:

Ανάλογα με το ρήμα της εξάρτησης μπορεί να μετατραπεί:

α) σε δευτερεύουσα πρόταση

β) σε απαρέμφατο

γ) σε κατηγορηματική μετοχή.

Παραδείγματα			
	υπόθεση	απόδοση	μετατροπή
ανεξάρτητος υποθετικός λόγος	εἰ ταῦτα πράττετε,	*ἀδικεῖτε*	
εξαρτημένος υποθετικός λόγος	Σωκράτης γιγνώσκει, εἰ ταῦτα πράττουσιν,	*ὅτι ἀδικοῦσιν*	δευτερεύουσα πρόταση
	Σωκράτης γιγνώσκει, εἰ ταῦτα πράττουσιν,	*ἀδικεῖν* (αὐτούς)	απαρέμφατο
	Σωκράτης γιγνώσκει, εἰ ταῦτα πράττουσιν,	*ἀδικοῦντας* (αὐτοὺς)	κατηγορηματική μετοχή

Οι μετατροπές που υφίστανται οι εξαρτημένοι υποθετικοί λόγοι ακολουθούν γενικά τους κανόνες μετατροπής του ευθέος λόγου σε πλάγιο, που θα εξετάσουμε αναλυτικά στην ενότητα 15.

III. Πολλές φορές η υπόθεση δεν εμφανίζεται με τη μορφή υποθετικής πρότασης, αλλά με τη μορφή υποθετικής μετοχής.

Π.χ. Οὐκ ἂν ἦλθον δεῦρο, **ὑμῶν** μὴ **κελευσάντων**

(= Οὐκ ἂν ἦλθον δεῦρο, **εἰ** μὴ ὑμεῖς ἐκελεύσατε).

ΕΝΟΤΗΤΑ 11

ΡΗΜΑΤΑ ΥΓΡΟΛΗΚΤΑ ΚΑΙ ΕΝΡΙΝΟΛΗΚΤΑ

Σχηματισμός **ενεστώτα, παρατατικού** και **μέλλοντα**

● **Υπενθυμίζεται ότι** η Α΄ Συζυγία περιλαμβάνει ρήματα:

Α΄ ΣΥΖΥΓΙΑ (ρήματα σε -ω)

Φωνηεντόληκτα		Συμφωνόληκτα	
Ασυναίρετα (βαρύτονα)	Συνηρημένα (περισπώμενα)	Αφωνόληκτα (βαρύτονα)	Ημιφωνόληκτα (βαρύτονα)
λύ-ω	σε -άω (τιμά-ω = ῶ)	ουρανικόληκτα	ενρινόληκτα
παιδεύ-ω	σε -έω (ποιέ-ω = ῶ)	ἄγ-ω	νέμ-ω
	σε -όω (δηλό-ω = ῶ)	τάσσ-ω (θ. ταγ-)	μέν-ω
		χειλικόληκτα	υγρόληκτα
		γράφ-ω	ἀγέλ-λω
		βλάπτ-ω (θ. βλαβ-)	φέρ-ω
		οδοντικόληκτα	
		σπεύδ-ω	
		ἐλπίζ-ω (θ. ἐλπιδ-)	

Μέχρι τώρα έχουν διδαχθεί τα φωνηεντόληκτα και τα αφωνόληκτα.

Η τελευταία κατηγορία των ενρινολήκτων και υγρολήκτων ρημάτων παρουσιάζει σημαντικές ιδιαιτερότητες.

Α. ΥΛΙΚΟ ΓΙΑ ΕΠΕΞΕΡΓΑΣΙΑ

Να μελετήσετε τους υπογραμμισμένους τύπους στα επόμενα παραδείγματα και να επισημάνετε κάποιες ιδιαιτερότητες στον σχηματισμό του μέλλοντα και του αορίστου.

● Θεοὺς <u>μιαίνειν</u> οὐδεὶς ἀνθρώπων <u>σθένει</u> (= μπορεί, έχει τη δυνατότητα).

● Ὁμιλίαι κακαὶ (= κακές συναναστροφές) <u>φθείρουσιν</u> ἤθη χρηστά.

● Ὦ ξεῖν' <u>ἀγγέλλειν</u> Λακεδαιμονίοις ὅτι τῇδε κείμεθα τοῖς κείνων ῥήμασι πειθόμενοι.

- Πολὺς καπνὸς ἐφαίνετο ἐν ταῖς κώμαις (= στις κωμοπόλεις).
- Οὐ καταισχυνῶ ὅπλα τὰ ἱερά, οὐδ' ἐγκαταλείψω τὸν παραστάτην, ὅτῳ ἂν στοιχήσω (= με όποιον ταχθώ στη γραμμή), ἀμυνῶ δὲ καὶ ὑπὲρ ἱερῶν καὶ ὑπὲρ ὁσίων καὶ μόνος καὶ μετὰ πολλῶν.
- Τισσαφέρνης διαβάλλει Κῦρον πρὸς τὸν ἀδελφὸν ὡς ἐπιβουλεύει αὐτῷ (= ότι δήθεν τόν επιβουλεύεται)· ὁ δὲ πείθεται καὶ λαμβάνει (= συλλαμβάνει) Κῦρον ὡς ἀποκτενῶν (= για να τον θανατώσει).
- Σωκράτης, σοφὸς ὤν (= αν και ήταν σοφός), οὐκ ἠσχύνετο παρ' ἄλλων χρήσιμα μανθάνειν.
- Ταῦτα τῷ βασιλεῖ οἱ πρέσβεις ἀπαγγελοῦσι.
- Ἠγγέλλετο τοῖς στρατιώταις ὅτι Κῦρος τέθνηκε.
- Ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Β. ΠΑΡΑΤΗΡΗΣΕΙΣ

1. Από τα ενρινόληκτα και υγρόληκτα ρήματα πολύ λίγα σχηματίζουν τον ενεστώτα και τον παρατατικό ενεργητικής και μέσης φωνής από το ρηματικό θέμα αμετάβλητο, όπως π.χ. τα ρήματα:
   σθένω, μένω, στένω (= στενάζω), γέμω, τρέμω, νέμω
   (ἐ)θέλω, βούλομαι, ἐπιμέλομαι, δέρω, φέρω κ.ά.

2. Τα περισσότερα ρήματα των κατηγοριών αυτών σχηματίζουν τον ενεστώτα και τον παρατατικό από το ρηματικό θέμα με την προσθήκη του χρονικού προσφύματος -j-, με τις ακόλουθες συνέπειες:

   α) Σε όσα ρήματα έχουν χαρακτήρα **-λ-** αφομοιώνεται προς αυτόν το πρόσφυμα **-j-** και εμφανίζεται στον ενεστώτα και τον παρατατικό διπλό -λ (**-λλ-**) π.χ.
   ἀγγέλλω, ἤγγελλον (< ἀγγελ-j-ω, θ. ἀγγελ- πρβλ. ἄγγελ-ος)
   ἀγγέλλομαι, ἠγγελλόμην
   σφάλλω, ἔσφαλλον (< σφάλ-j-ω, θ. σφαλ-, πρβλ. σφάλ-μα)
   σφάλλομαι, ἐσφαλλόμην

Εξαιρούνται απ' αυτόν τον κανόνα και γράφονται με ένα -λ- τα ρήματα: (ἐ)θέλω, βούλομαι, ἐπιμέλομαι, ὀφείλω και το απρόσωπο μέλει (= υπάρχει φροντίδα)

   β) Σε όσα ρήματα έχουν χαρακτήρα **-ν-** ή **-ρ-** και υπάρχουν πριν απ' αυτόν τα φωνήεντα **-α, -ε, ι, υ,** μετατρέπονται αυτά τα φωνήεντα σε **-αι, ει, ῑ, ῡ** αντίστοιχα· π.χ.
   φαίνω, ἔφαινον (< φαν-j-ω, θ. φαν- πρβλ. φαν-ός)
   φαίνομαι, ἐφαινόμην

αἴρω, ἦρον	(< ἀρ-j-ω, θ. ἀρ- πρβλ. ἄρ-σις)
αἴρομαι, ἠρόμην	
κτείνω, ἔκτεινον	(< κτενν- < κτεν-j-ω, θ. κτεν-)
φθείρω, ἔφθειρον	(< φθερρ- < φθερ-j-ω, θ. φθερ-)
κρῑ́νω, ἔκρῑνον	(< κρῐνν- < κρῐν-j-ω, θ. κρῐν-)
οἰκτῑ́ρω, ᾤκτῑρον	(< οἰκτῑ́ρρ- < οἰκτῑ́ρ-j-ω, θ. οἰκτῑρ-)
πλῡ́νω, ἔπλῡνον	(< πλῡ́νν- < πλῡ́ν-j-ω, θ. πλῡν-)
σῡ́ρω, ἔσῡρον	(< σῡ́ρρ- < σῡρ-j-ω, θ. σῡρ-)

Για τις φθογγολογικές μεταβολές που οδήγησαν σ' αυτούς τους μετασχηματισμούς βλέπε την παράγρ. 301 της Γ.Α.Ε.

3. Ο μέλλοντας ενεργητικής και μέσης φωνής των ενρινόληκτων και υγρόληκτων ρημάτων σχηματίζεται από το ρηματικό θέμα και τις καταλήξεις των συνηρημένων ρημάτων σε **-έω**. Κλίνεται όπως ο ενεστώτας του συνηρημένου ρήματος ποιέω-ῶ. Π.χ.:

Ενεστώτας		Μέλλοντας
• βάλλω	θ. βαλ-	βαλ-ῶ
βάλλομαι		βαλ-οῦμαι
• κρίνω	θ. κριν-	κριν-ῶ
κρίνομαι		κριν-οῦμαι
• αἴρω	θ. ἀρ-	ἀρ-ῶ
αἴρομαι		ἀρ-οῦμαι

Γ. ΑΣΚΗΣΕΙΣ

➤ Να μεταφέρετε τα ρήματα των επομένων προτάσεων στον μέλλοντα, σύμφωνα με το πρώτο παράδειγμα:

1. Οἱ στρατιῶται *μένουσιν* ἐνταῦθα ἡμέρας πέντε.	1. Οἱ στρατιῶται *μενοῦσιν* ἐνταῦθα ἡμέρας πέντε.
2. Ταῦτα *ἀποκρινόμεθα* τῷ στρατηγῷ.	2. …… ……..……
3. Ἀθηναῖοι τὴν τῶν βαρβάρων στρατιὰν *ἀμύνονται* (= αποκρούουν).	3. ……..… ……..….

4. Οἱ πολέμιοι τὴν τῶν Θηβαίων χώραν *διαφθείρουσι.*	4. …… ……
5. Ταῦτα οἱ πρέσβεις τῶν Λακεδαιμονίων *ἀγγέλλουσι.*	5. …… ……
6. Οὗτος τὴν ἑαυτοῦ πατρίδα *αἰσχύνει.*	6. …… ……
7. Ἐξαπίνης (= αιφνιδιαστικά, ξαφνικά) *ἐπιφαίνονται* οἱ πολέμιοι.	7. …… ……
8. *Ἀγγέλλεται* ὑπὸ τοῦ κήρυκος ἢ τῶν παίδων τελευτή.	8. …… ……

➤ Στο επόμενο κείμενο να βρείτε δυο τουλάχιστον τύπους ενρινολήκτων και υγρολήκτων ρημάτων, να τους αναγνωρίσετε και να γράψετε την ευκτική ενεστώτα και μέλλοντα της ίδιας φωνής:

Τοὺς ἀσώτους καὶ τοὺς μὴ ἔκ τινος περιουσίας ζῶντας τὸ παλαιὸν ἔκρινον οἱ Ἀρεοπαγῖται καὶ ἐκόλαζον. Μενέδημον γοῦν καὶ Ἀσκληπιάδην τοὺς φιλοσόφους, νέους ὄντας καὶ πενομένους μεταπεμψάμενοι οἱ Ἀρεοπαγῖται ἤροντο, πῶς ὅλας τὰς ἡμέρας τοῖς φιλοσόφοις συσχολάζοντες, κεκτημένοι δὲ οὐδέν, οὐ φαίνονται πένητες.

Οἱ δὲ ἐκέλευον μεταπεμφθῆναί τινα τῶν μυλωθρῶν. Ἐλθόντος δ' ἐκείνου καὶ εἰπόντος ὅτι νυκτὸς ἑκάστης, κατιόντες εἰς τὸν μυλῶνα σύρουσι καὶ αἴρουσι σάκκους καὶ μένοντες μέχρι πρωΐας δύο δραχμὰς ἀμφότεροι λαμβάνουσι, θαυμάσαντες οἱ Ἀρεοπαγῖται παραγγέλλουσι δοθῆναι ἑκάστῳ αὐτῶν δραχμὰς διακοσίας.

πενομένους (πένομαι)	φτωχούς
μεταπεμψάμενοι (μεταπέμπομαι)	αφού τους κάλεσαν
τοῖς φιλοσόφοις συσχολάζοντες	κάνοντας παρέα με τους φιλοσόφους
οἱ δὲ... τῶν μυλωθρῶν	αυτοί λοιπόν ζητούσαν να έρθει κάποιος μυλωνάς
κατιόντες εἰς τὸν μυλῶνα	αφού κατέβουν στον μύλο

ΕΝΟΤΗΤΑ 12

ΟΙ ΑΛΛΟΙ ΧΡΟΝΟΙ ΤΩΝ ΥΓΡΟΛΗΚΤΩΝ ΚΑΙ ΤΩΝ ΕΝΡΙΝΟΛΗΚΤΩΝ ΡΗΜΑΤΩΝ

Α. ΥΛΙΚΟ ΓΙΑ ΕΠΕΞΕΡΓΑΣΙΑ

Να μελετήσετε τα παρακάτω παραδείγματα:

- Ἡρόδοτος λέγει ὅτι οἱ βάρβαροι ἀπέκτειναν τοὺς τῶν Ἀθηναίων ἱκέτας ἐν τῷ τῆς Ἀθηνᾶς βωμῷ καὶ πυρὶ τὸ ἱερὸν διέφθειραν.
- Διογένης ἐρωτηθείς, ὅπως ἄν τις ἀμύναιτο τὸν ἑαυτοῦ ἐχθρόν, ἀπεκρίνατο· «αὐτὸς καλὸς κἀγαθὸς γενόμενος».
- Λακεδαιμόνιοι τοῖς Ἀθηναίοις ἐβοήθησαν καὶ οὕτω τὸ τῶν βαρβάρων στῖφος ἠμύναντο.
- Ἅμα τῷ ὄρθρῳ (= με το γλυκοχάραμα) Κλέαρχος *παρήγγειλε* εἰς τάξιν τοὺς Ἕλληνας τὰ ὅπλα ἔχειν.
- Ὅστις τὰς ἑαυτοῦ χείρας ἐμίανε, μὴ ἁψάσθω (= να μην αγγίξει) τῶν βωμῶν.
- Τήνδε τὴν ἐπιστολὴν ἐγὼ ἀπέσταλκά σοι ὡς μνήμην (= σαν ανάμνηση) τῆς πρὸς τὸν πατέρα φιλίας.
- Ἀπηγγέλκασι τῷ Ἀριαίῳ ὅτι νικῶσιν οἱ Ἕλληνες καὶ εἰς φυγὴν τοὺς ἐναντίους τρέπουσι.
- Ἐγὼ ἀπέστειλα ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων.
- Παρήγγελτο τοῖς στρατιώταις μὴ *κτεῖναι* τοὺς ἐχθροὺς ἀδίκως.

Οι υπογραμμισμένες λέξεις στα παραδείγματα είναι τύποι του αορίστου, του παρακειμένου και του υπερσυντελίκου ενεργητικής και μέσης φωνής ενρινολήκτων και υγρολήκτων ρημάτων.

Β. ΠΑΡΑΤΗΡΗΣΕΙΣ

Ι. Ο αόριστος των ρημάτων αυτών κλίνεται σύμφωνα με τον πίνακα:

	ΑΟΡΙΣΤΟΣ					
	Οριστική	Υποτακτική	Ευκτική	Προστακτική	Απαρ.	Μετοχή
Ενεργητικός	ἔ-νειμ-α	νείμ-ω	νείμ-αιμι	—	νεῖ-μαι	
	ἔ-νειμ-ας	νείμ-ῃς	νείμ-αις	νεῖμον		
	ἔ-νειμ-ε	νείμ-ῃ	νείμ-αι	νειμ-άτω		
	ἐ-νείμ-αμεν	νείμ-ωμεν	νείμ-αιμεν	—		νείμας
	ἐ-νείμ-ατε	νείμ-ητε	νείμ-αιτε	νείμ-ατε		νείμ-ασα
	ἔ-νειμ-αν	νείμ-ωσι	νείμ-αιεν	νειμ-άντων ή -άτωσαν		νεῖμ-αν
	ἐ-νείμ-ατον	νείμ-ητον	νείμ-αιτον	νείμ-ατον		
	ἐ-νειμ-άτην	νείμ-ητον	νειμ-αίτην	νειμ-άτων		
	Οριστική	Υποτακτική	Ευκτική	Προστακτική	Απαρ.	Μετοχή
Μέσος	ἐ-νειμ-άμην	νείμ-ωμαι	νειμ-αίμην	—	νείμ-ασθαι	
	ἐ-νείμ-ω	νείμ-ῃ	νείμ-αιο	νεῖμαι		
	ἐ-νείμ-ατο	νείμ-ηται	νείμ-αιτο	νειμ-άσθω		
	ἐ-νειμ-άμεθα	νειμ-ώμεθα	νειμ-αίμεθα	—		νειμ-άμενος
	ἐ-νείμ-ασθε	νείμ-ησθε	νείμ-αισθε	νείμ-ασθε		νειμ-αμένη
	ἐ-νείμ-αντο	νείμ-ωνται	νείμ-αιντο	νειμ-άσθων ή -άσθωσαν		νειμ-άμενον
	ἐ-νείμ-ασθον	νείμ-ησθον	νείμ-αισθον	νείμ-ασθον		
	ἐ-νειμ-άσθην	νείμ-ησθον	νειμ-αίσθην	νειμ-άσθων		

Για τον σχηματισμό του ενεργητικού και μέσου αορίστου των ενρινολήκτων και υγρολήκτων ρημάτων βλ. τις παραγρ. 303 και 304 της ΓΑΕ.

α) Ο ενεργητικός και μέσος αόριστος των ενρινολήκτων και υγρολήκτων ρημάτων εμφανίζεται χωρίς τον χρονικό χαρακτήρα -σ-, με καταλήξεις -α-, -άμην (άσιγμος αόριστος).

β) Στο ρηματικό θέμα το φωνήεν που προηγείται του ένρινου ή υγρού χαρακτήρα μεταβάλλεται σύμφωνα με τον πίνακα:

ᾰ →η	φαίνω	θ.	φᾰν-	αόρ.	ἔ-φην-α
ᾰ → ᾱ (μετά από ε, ι, ρ)	μαραίνω	θ.	μαρᾰν-	αόρ.	ἐ-μάρᾱν-α
ε → ει	ἀγγέλλω	θ.	ἀγγελ-	αόρ.	ἤγγειλ-α
ῐ → ῑ	κρίνω	θ.	κρῐν-	αόρ.	ἔ-κρῑν-α
ῠ → ῡ	ἀμύνω	θ.	ἀμῠν-	αόρ.	ἤμῡν-α

II. Ο παρακείμενος και υπερσυντέλικος της ενεργητικής φωνής σχηματίζεται κανονικά με τις καταλήξεις -κα, -κειν:

ἀγγέλλω (θ. αγγελ-) → ἤγγελκα, ἠγγέλκειν
αἴρω (θ. αρ-) → ἦρκα, ἤρκειν
φαίνω (θ. φαν-) → πέφαγκα, ἐπεφάγκειν

III. Ο παρακείμενος και υπερσυντέλικος της μέσης φωνής:

α) στα υγρόληκτα ρήματα σχηματίζεται κανονικά με τις καταλήξεις -μαι, -μην:

ἀγγέλλομαι (θ. αγγελ-) → ἤγγελμαι, ἠγγέλμην
καθαίρομαι (θ. καθαρ-) → κεκάθαρμαι, ἐκεκαθάρμην

β) στα ενρινόληκτα ο ρηματικός χαρακτήρας -ν- άλλοτε αφομοιώνεται προς το -μ- της κατάληξης και άλλοτε τρέπεται σε -σ:

αἰσχύνομαι (θ.αισχυν-) → ἤσχυμμαι, ἠσχύμμην
μιαίνομαι (θ. μιαν-) → μεμίασμαι, ἐμεμιάσμην

γ) η κλίση γίνεται σύμφωνα με τον πίνακα:

ΠΑΡΑΚΕΙΜΕΝΟΣ ΚΑΙ ΥΠΕΡΣΥΝΤΕΛΙΚΟΣ ΜΕΣΗΣ ΦΩΝΗΣ			
Οριστική		Προστακτική	Απαρέμφατο Μετοχή
ἤγγελ-μαι	ἠγγέλ-μην	—	
ἤγγελ-σαι	ἤγγελ-σο	ἤγγελ-σο	ἠγγέλ-θαι
ἤγγελ-ται	ἤγγελ-το	ἠγγέλ-θω	
ἠγγέλ-μεθα	ἠγγέλ-μεθα	—	ἠγγελ-μένος
ἤγγελ-θε	ἤγγελ-θε	ἤγγελ-θε	ἠγγελ-μένη
ἠγγελ-μένοι εἰσὶ	ἠγγελ-μένοι ἦσαν	ἠγγέλ-θων	ἠγγελ-μένον
ὤξυμ-μαι	ὠξύμ-μην	—	
ὤξυν-σαι	ὤξυν-σο	ὤξυν-σο	ὠξύν-θαι
ὤξυν-ται	ὤξυν-το	ὠξύν-θω	
ὠξύμ-μεθα	ὠξύμ-μεθα	—	ὠξυμ-μένος
ὤξυν-θε	ὤξυν-θε	ὤξυν-θε	ὠξυμ-μένη
ὠξυμ-μένοι εἰσὶ	ὠξυμ-μένοι ἦσαν	ὠξύν-θων	ὠξυμ-μένον
πέφασ-μαι	ἐπεφάσ-μην	—	
πέφαν-σαι	ἐπέφαν-σο	πέφαν-σο	πεφάν-θαι
πέφαν-ται	ἐπέφαν-το	πεφάν-θω	
πεφάσ-μεθα	ἐπεφάσ-μεθα	—	πεφασ-μένος
πέφαν-θε	ἐπέφαν-θε	πέφαν-θε	πεφασ-μένη
πεφασ-μένοι εἰσὶ	πεφασ-μένοι ἦσαν	πεφάν-θων	πεφασ-μένον

Για τον σχηματισμό των χρόνων αυτών βλ. τις παραγρ. 305, 307 και 308 της Γ.Α.Ε.

IV. Ο παθητικός μέλλοντας και ο παθητικός αόριστος των ενρινολήκτων και υγρολήκτων ρημάτων σχηματίζονται κανονικά με την προσθήκη των καταλήξεων *-θήσομαι* και *-θην* αντίστοιχα (όπως και στα φωνηεντόληκτα), χωρίς μεταβολή του ρηματικού χαρακτήρα. Π.χ.:

ἀγγέλλομαι	(θ. *αγγελ-)*	→	*ἀγγελ-θήσομαι, ἠγγέλ-θην*
μιαίνομαι	(θ. *μιαν-)*	→	*μιαν-θήσομαι, ἐ-μιάν-θην*

V. **Να προσέξετε τις εξαιρέσεις:**

α) Τα ρήματα *κλίνω, κρίνω, πλύνω* και *τείνω* σχηματίζουν τον παρακείμενο και υπερσυντέλικο της ενεργητικής και της μέσης φωνής, καθώς και τον παθητικό μέλλοντα και αόριστο χωρίς τον ρηματικό χαρακτήρα *-ν*. Π.χ.

κλίνω	(θ. *κλιν-*)	→	*κέκλικα, κέκλιμαι,* *κλιθήσομαι, ἐκλίθην*
κρίνω	(θ. *κριν-*)	→	*κέκρικα, κέκριμαι* *κριθήσομαι, ἐκρίθην*
πλύνω	(θ. *πλυν-*)	→	*πέπλυκα, πέπλυμαι,* *πλυθήσομαι, ἐπλύθην*
τείνω	(θ. *τεν-/ταν-*)	→	*τέτακα, τέταμαι* *ταθήσομαι, ἐτάθην*

β) Όσα από τα ενρινόληκτα και υγρόληκτα ρήματα έχουν μονοσύλλαβο ρηματικό θέμα, στο οποίο υπάρχει το φωνήεν *-ε,* τρέπουν το *-ε* αυτό σε *-α* στον παρακείμενο και υπερσυντέλικο ενεργητικής και μέσης φωνής, καθώς και στον παθητικό μέλλοντα και αόριστο (α΄ και β΄). Π.χ.

σπείρω	(θ. *σπερ-*)	→	*ἔσπαρκα, ἔσπαρμαι* *σπαρήσομαι, ἐσπάρην*
φθείρω	(θ. *φθερ-*)	→	*ἔφθαρκα, ἔφθαρμαι* *φθαρήσομαι, ἐφθάρην*
στέλλω	(θ. *στελ-*)	→	*ἔσταλκα, ἔσταλμαι* *σταλήσομαι, ἐστάλην*

(βλ. και παραγρ. 309 της γραμματικής)

Γ. ΑΣΚΗΣΕΙΣ

➤ Να συμπληρώσετε τα κενά με τον σωστό τύπο του ρήματος που είναι σε παρένθεση:

1. Φαλῖνος ἠρώτα Κλέαρχον πότερον σπονδὰς ἢ πόλεμον ..... (ἀπαγγέλλω – α΄ πληθ. οριστ. μελλ.) τῷ βασιλεῖ.
2. Ἀθυμία τοῖς Ἀθηναίοις ἐνέπεσε (=στεναχώρια κατέλαβε τους Αθηναίους) ἐπεὶ ..... (ἀγγέλλομαι – γ΄ εν. υπερσ.) ἡ ἐν Σικελίᾳ καταστροφή.
3. Νικίας ἄπρακτος ..... (μένω – γ΄ εν. πρόσ. ορ. αορ.) διὰ τὸ ..... (διασπείρομαι – απαρεμφ. παρακειμ.) αὐτῷ τὸ στράτευμα.
4. Ἰδοὺ ἐξῆλθεν ὁ ..... (σπείρω – μετοχ. ενεστ.) τοῦ ..... (σπείρω – απαρεμφ. αορ.).
5. Τοῦ Διὸς γάμους ποιοῦντος, πάντα τὰ ζῷα δῶρα ..... (ἀποστέλλω – γ΄ πληθ. ορ. αορ.), ἕκαστον κατὰ τὴν οἰκείαν δύναμιν. Ὄφις δὲ ἕρπων ῥόδον λαβὼν ἐν τῷ στόματι ἀνέβη. Ἰδὼν δὲ αὐτὸν ὁ Ζεὺς ..... (ἀποκρίνομαι – γ΄ εν. ορ. αορ)· «τῶν ἄλλων πάντων τὰ δῶρα λαμβάνω, ἀπὸ δὲ τοῦ σοῦ στόματος οὐδόλως λαμβάνω». Ὁ μῦθος δηλοῖ ὅτι τῶν πονηρῶν αἱ χάριτες τοὺς ἄλλους ..... (διαφθείρω – γ΄ πληθ. ορ. παρακειμ.).

➤ Να συμπληρώσετε τα κενά των προτάσεων τοποθετώντας κατάλληλα τις λέξεις της διπλανής στήλης:

1. Ὁ μὴ ..... ἄνθρωπος οὐ παιδεύεται.
2. Ἐν θέρει οἱ Ἀθηναῖοι τὰς χεῖρας ..... καὶ τὸν Δία ἱκέτευον νέφη ..... ἐν τῷ οὐρανῷ καὶ ὕδωρ πέμπειν δι' αὐτῶν.
3. Τὴν μὲν ναῦν ..... κακὸς κυβερνήτης, τὴν δὲ πόλιν κακὸς τύραννος.
4. Οἱ μετὰ Λεωνίδου εἰς Θερμοπύλας πολλοὺς τῶν ἐναντίων ..... καὶ τὴν ἑαυτῶν πατρίδα οὐκ ..... .
5. Ὀρέστης τὰς χεῖρας τῷ τῆς μητρὸς αἵματι ..... καὶ διὰ τοῦτο αἱ Ἐρινύες ἐπειρῶντο ..... αὐτόν.

διαφθείρειν
φθείρει
δαρεὶς
ἀπέκτειναν
ἤσχυναν
ἦρουν
ἐμίανε
φαίνειν

➤ Να μεταφέρετε στην αρχαία Ελληνική τα παραδείγματα:

1. Δε θα ντροπιάσουμε *(καταισχύνω)* τα όπλα της πατρίδας αλλά θα αγωνιστούμε *(ἀμύνω)* και πολλούς εχθρούς θα φονεύσουμε *(κτείνω).*
2. Οι Αθηναίοι ντρέπονταν *(αἰσχύνομαι),* επειδή οι βάρβαροι κατέστρεψαν *(διαφθείρω)* την Αττική και σκότωσαν *(ἀποκτείνω)* πολλούς ανθρώπους. Γι' αυτό *(διὸ)* δεν περίμεναν *(ἀναμένω)* τους συμμάχους αλλά μόνοι αντιμετώπισαν *(ἀμύνομαι* + αιτ.*)* τους εχθρούς.

➤ Στο επόμενο κείμενο να αναγνωρίσετε τους υπογραμμισμένους ρηματικούς τύπους και να γράψετε το β΄ και γ΄ ενικό πρόσωπο του μέλλοντα, του αορίστου και του παρακειμένου της ίδιας φωνής:

Βάτραχοι δύο ἐν λίμνῃ ἐνέμοντο. Θέρους δὲ ξηρανθείσης τῆς λίμνης, καταλιπόντες ἐκείνην διὰ τὸ μὴ δύνασθαι μένειν, ἐπεζήτουν ἑτέραν. Καὶ δὴ βαθεῖ περιέτυχον φρέατι, ὅπερ ἰδὼν ἄτερος θατέρῳ ἀγγέλλει· «ἰδοὺ φρέαρ μέγα· συγκατέλθωμεν ἐν αὐτῷ.» Ὁ δὲ ὑπολαβὼν ἀποκρίνεται· «ἂν οὖν καὶ τὸ ἐνθάδε ὕδωρ ξηρανθῇ, πῶς ἀναβησόμεθα;» Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖ ἀπερισκέπτως κρίνειν περὶ τῶν πραγμάτων.

(Αἰσώπου Μῦθοι, διασκευή)

ἐνέμοντο (νέμομαι)	ζούσαν, έβρισκαν τροφή
βαθεῖ περιέτυχον φρέατι	βρήκαν ένα βαθύ πηγάδι
ἄτερος θατέρῳ	ο ένας στον άλλο
ὁ δὲ ὑπολαβὼν	εκείνος δε αφού πήρε τον λόγο

ΕΝΟΤΗΤΑ 13

ΑΝΤΩΝΥΜΙΕΣ
ΚΥΡΙΩΣ ΚΤΗΤΙΚΕΣ ΚΑΙ ΑΛΛΗΛΟΠΑΘΗΤΙΚΕΣ

● **Υπενθυμίζεται ότι:**

Αντωνυμίες λέγονται οι κλιτές λέξεις που χρησιμοποιούνται στον λόγο κυρίως αντί ονομάτων (ουσιαστικών ή επιθέτων).
Οι αντωνυμίες είναι εννέα ειδών:

1. Προσωπικές	: ἐγώ, σύ, (αὐτός) - ἡμεῖς, ὑμεῖς, (σφεῖς)
2. Δεικτικές	: οὗτος, αὕτη, τοῦτο, ὅδε, ἥδε, τόδε κ.ά.
3. Οριστική ή Επαναληπτική	: αὐτός, αὐτή, αὐτό
4. Κτητικές	: ἐμός-ή-όν, σός-ή-όν, ἑός-ή-όν
5. Αυτοπαθητικές	: ἐμαυτοῦ, ἐμαυτῆς – σεαυτοῦ, σεαυτῆς – ἑαυτοῦ, ἑαυτῆς κ.λπ.
6. Αλληλοπαθητικές	: ἀλλήλων, ἀλλήλοις, ἀλλήλους – ἀλλήλων, ἀλλήλαις, ἀλλήλας – ἀλλήλων, ἀλλήλοις, ἄλληλα
7. Ερωτηματικές	: τίς, τί – τίνες, τίνα ποῖος, ποία, ποῖον κ.ά.
8. Αόριστες	: τὶς τὶ – τινές, τινά (ἄττα) κ.ά.
9. Αναφορικές	: ὅς, ἥ, ὅ – ὅσπερ, ἥπερ, ὅπερ – ὅστις, ἥτις, ὅ,τι κ.ά.

Α. ΥΛΙΚΟ ΓΙΑ ΕΠΕΞΕΡΓΑΣΙΑ

Παρατηρήστε στα επόμενα παραδείγματα τους υπογραμμισμένους τύπους:

- Διὰ τοὺς <u>σοὺς</u> λόγους (= αναπόδεικτες κατηγορίες) ἀξιοῖς με ἀπολέσθαι, καὶ κατηγορεῖς ὡς ὑπὸ τῆς <u>ἐμῆς</u> δυνάμεως καὶ τῶν <u>ἐμῶν</u> χρημάτων οὐδεὶς ἐθέλει σοι μαρτυρεῖν.
- Χρῆν δ' αὐτὸν ὑπὲρ τῆς <u>ἡμετέρας</u> σωτηρίας ταύτην τὴν προθυμίαν ἔχειν, ἀλλὰ μὴ ὑπὲρ Θηραμένους, ὃς εἰς ἡμᾶς πολλὰ ἐξήμαρτεν.
- Ἀλλ' οὗτος τὴν μὲν πόλιν ἐχθρὰν ἐνόμιζεν εἶναι, τοὺς δ' <u>ὑμετέρους</u> ἐχθροὺς φίλους.
- Καίτοι εἰ ἐσωφρόνουν, τοὺς διδασκάλους τῶν <u>σφετέρων</u> ἁμαρτημάτων σφόδρ' ἂν ἐκόλαζον.

- Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους καθὼς ἠγάπησα ὑμᾶς.
- Ἀλλήλων τὰ βάρη βαστάζετε.

Οι υπογραμμισμένοι τύποι είναι κτητικές αντωνυμίες (παραδ. 1-4) και αλληλοπαθητικές αντωνυμίες (παραδ. 5 και 6).

Β. ΠΑΡΑΤΗΡΗΣΕΙΣ

- Ανάλογα με τον αριθμό των κτητόρων, οι κτητικές αντωνυμίες έχουν τις ακόλουθες μορφές:

Α΄ Για έναν κτήτορα

α΄ πρόσωπο: **ἐμός, ἐμή, ἐμὸν** (= δικός μου, δική μου, δικό μου)
β΄ πρόσωπο: **σός, σή, σὸν** (= δικός σου, δική σου, δικό σου)
γ΄ πρόσωπο: **ἑός, ἑή, ἑὸν** (= δικός του, δική του, δικό του)

Β΄ Για πολλούς κτήτορες

α΄ πρόσωπο: **ἡμέτερος, ἡμετέρα, ἡμέτερον** (= δικός μας, δική μας, δικό μας)
β΄ πρόσωπο: **ὑμέτερος, ὑμετέρα, ὑμέτερον** (= δικός σας, δική σας, δικό σας)
γ΄ πρόσωπο: **σφέτερος, σφετέρα, σφέτερον** (=δικός τους, δική τους, δικό τους)

- Οι κτητικές αντωνυμίες έχουν τρία πρόσωπα και σχηματίζονται, όπως φαίνεται στον παραπάνω πίνακα, από το θέμα των αντίστοιχων προσωπικών αντωνυμιών.
- Κλίνονται όπως τα τρικατάληκτα δευτερόκλιτα επίθετα [σε -ος -η -ὸν]
  Π.χ.: ἐμός, ἐμή, ἐμὸν → όπως σοφός, σοφή, σοφὸν
  ἡμέτερος, ἡμετέρα, ἡμέτερον → όπως δίκαιος, δικαία, δίκαιον.
- Από τις κτητικές αντωνυμίες γ΄ προσώπου η ἑός, ἑή, ἑὸν δεν χρησιμοποιείται από τους πεζογράφους και η σφέτερος, -α, -ον είναι σπάνια. Αντί γι' αυτές χρησιμοποιείται συχνά:
  — η γενική της επαναληπτικής αντωνυμίας **αὐτός, αὐτή, αὐτό.**
  — η γενική της δεικτικής αντωνυμίας **οὗτος ἢ ἐκεῖνος** για έμφαση.
  — η γενική της αυτοπαθητικής αντωνυμίας **ἑαυτοῦ, ἑαυτῶν.**

Δείτε τα επόμενα παραδείγματα:

— Ὁ πατὴρ αὐτοῦ ἐπείσθη μὲν ὑπὸ Περικλέους εἰς ταύτην τὴν γῆν ἀφικέσθαι ἔτη δὲ τριάκοντα ᾤκησε.

— Τοσαύτην σωφροσύνην καὶ δέος ἡ τούτων ἀρετὴ πᾶσιν ἀνθρώποις παρεῖχεν.
— Οὗτοι παιδευθέντες μὲν ἐν τοῖς τῶν προγόνων ἀγαθοῖς, ἄνδρες δὲ γενόμενοι τὴν ἐκείνων δόξαν διέσωσαν.
— Πολλῶν μὲν γὰρ καὶ καλῶν αἴτιοι γεγένηνται τῇ ἑαυτῶν πατρίδι.

- Η αλληλοπαθητική αντωνυμία, επειδή φανερώνει σχέση ανάμεσα σε δύο ή περισσότερα πρόσωπα, εμφανίζεται μόνο στον πληθυντικό αριθμό και μόνο στις πλάγιες πτώσεις.
  Κλίνεται όπως τα τρικατάληκτα επίθετα της β΄ κλίσης:

Πληθυντικός αριθμός

αρσ.	θηλ.	ουδ.
ἀλλήλων	ἀλλήλων	ἀλλήλων
ἀλλήλοις	ἀλλήλαις	ἀλλήλοις
ἀλλήλους	ἀλλήλας	ἄλληλα

Γ. ΑΣΚΗΣΕΙΣ

➤ Να συμπληρώσετε τις προτάσεις με τον κατάλληλο τύπο των αντωνυμιών που δίνονται σε παρένθεση:

1. Καὶ ἔλεγον πρὸς ..... · τίς ἄρα οὗτός ἐστιν, ὅτι καὶ ὁ ἄνεμος καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ; (**ἀλλήλων**, αιτ. αρσ.)
2. Οὕτω δ' ἄσμενοι τὰς συμφορὰς τὰς ..... ὁρῶσιν, ὥστε τὰς μὲν πρότεροι τῶν ἄλλων πυνθάνονται, τὰς δ' αὐτοὶ λογοποιοῦσιν (= πλάθουν διάφορες φήμες). (**ὑμετέρα**)
3. Ὑμεῖς δὲ (ὃ τῶν εὖ φρονούντων ἔργον ἐστὶ) μᾶλλον πιστεύετε τοῖς ..... ὀφθαλμοῖς ἢ τοῖς τούτου λόγοις. (**ὑμέτερος** + επαναλ. αντων.)
4. Καλέσας δὲ Δάμνιππον λέγω πρὸς αὐτὸν τάδε, «ἐπιτήδειος (= φίλος) μέν μοι τυγχάνεις ὤν, ἥκω δ' εἰς τὴν ..... οἰκίαν, ἀδικῶ δ' οὐδέν, χρημάτων δ' ἕνεκα ἀπόλλυμαι. Σὺ οὖν ταῦτα πάσχοντί μοι πρόθυμον παράσχου (= θέσε στη διάθεσή μου) τὴν ..... δύναμιν εἰς τὴν ..... σωτηρίαν.» (**σή**, αυτοπ. αντων. β΄ πρόσ., **ἐμὴ**)
5. Ἄξιον δὲ καὶ τοὺς ξένους τοὺς ἐνθάδε κειμένους ἐπαινέσαι, οἳ περὶ τῆς ..... σωτηρίας μαχόμενοι, πατρίδα τὴν ἀρετὴν ἡγησάμενοι, τοιαύτην τοῦ βίου τελευτὴν (= τέλος) ἐποιήσαντο. (**ἡμετέρα**)
6. Ἔτι δὲ καὶ συλλέγεσθαί φησιν ἀνθρώπους ὡς (= σε) ἐμὲ πονηροὺς καὶ πολλούς, οἱ τὰ μὲν ..... ἀνηλώκασι (= έχουν σπαταλήσει), τοῖς δὲ τὰ .....

σῴζειν βουλομένοις ἐπιβουλεύουσιν. (αυτοπαθ. αντων., **σφέτερον**)

7. Ὅστις γὰρ περὶ τοὺς ..... ἀναγκαίους (= συγγενείς) τοιαῦτα ἁμαρτάνει ἁμαρτήματα, τί ἂν περί γε (= πράγματι) τοὺς ἀλλοτρίους ποιήσειεν; (αυτοπαθ. αντων.)

8. Μὴ ταρασσέσθω ..... ἡ καρδία. (προσωπ. αντων. β΄ προσ. πληθ.)

➤ Να διαβάσετε το παρακάτω κείμενο και να αναγνωρίσετε με τη βοήθεια των πινάκων της γραμματικής σας τα είδη των αντωνυμιών που υπάρχουν σ' αυτό:

Σωκράτης: Πότερον οὖν ἐν ἀνθρώπῳ μόνον νομίζεις τὸ καλὸν εἶναι ἢ καὶ ἐν ἄλλῳ τινί; Ἐγὼ μὲν ναὶ μὰ Δί', ἔφη, καὶ ἐν ἵππῳ καὶ βοῖ καὶ ἐν ἀψύχοις πολλοῖς. Οἶδα γοῦν οὖσαν καὶ ἀσπίδα καλὴν καὶ ξίφος καὶ δόρυ. Καὶ πῶς, ἔφη, οἷόν τε ταῦτα μηδὲν ὅμοια ὄντα ἀλλήλοις πάντα καλὰ εἶναι: Ἂν νὴ Δί', ἔφη, πρὸς τὰ ἔργα ὧν ἕνεκα ἕκαστα κτώμεθα εὖ εἰργασμένα ᾖ ἢ εὖ πεφυκότα πρὸς ἃ ἂν δεώμεθα, καὶ ταῦτ', ἔφη ὁ Κριτόβουλος, καλά. Οἶσθα οὖν, ἔφη, ὀφθαλμῶν τίνος ἕνεκα δεόμεθα; Δῆλον, ἔφη, ὅτι τοῦ ὁρᾶν. Οὕτω μὲν τοίνυν ἤδη οἱ ἐμοὶ ὀφθαλμοὶ καλλίονες ἂν τῶν σῶν εἴησαν. Πῶς δή; Ὅτι οἱ μὲν σοὶ τὸ κατ' εὐθὺ μόνον ὁρῶσιν, οἱ δὲ ἐμοὶ καὶ τὸ ἐκ πλαγίου διὰ τὸ ἐπιπόλαιοι εἶναι. Λέγεις σύ, ἔφη, καρκίνον εὐοφθαλμότατον εἶναι τῶν ζῴων; Πάντως δήπου, ἔφη· ἐπεὶ καὶ πρὸς ἰσχὺν τοὺς ὀφθαλμοὺς ἄριστα πεφυκότας ἔχει. Εἶεν, ἔφη, τῶν δὲ ῥινῶν ποτέρα καλλίων, ἡ σὴ ἢ ἡ ἐμή; Ἐγὼ μέν, ἔφη, οἶμαι τὴν ἐμήν, εἴπερ γε τοῦ ὀσφραίνεσθαι ἕνεκεν ἐποίησαν ἡμῖν ῥῖνας οἱ θεοί. Οἱ μὲν γὰρ σοὶ μυκτῆρες εἰς γῆν ὁρῶσιν, οἱ δὲ ἐμοὶ ἀναπέπτανται, ὥστε τὰς πάντοθεν ὀσμὰς προσδέχεσθαι.

Ξενοφῶντος **Συμπόσιον V 3-6**

καλός, -ή, -ὸν	ωραίος, καλός
οἷόν τ' (ἐστὶ)	είναι δυνατόν
πεφυκότα (φύομαι)	είναι από τη φύση τους
δὴ	λοιπόν
ἐπιπόλαιοι	γουρλωτοί
καρκίνον	κάβουρα
εὐοφθαλμότατον	αυτός που έχει την οξύτερη όραση
πάντως δήπου	εξάπαντος, βεβαιότατα, αναμφίβολα
εἶεν	καλά
εἴπερ γε	εάν πράγματι στ' αλήθεια
μυκτῆρες (μυκτήρ, ὁ)	ρουθούνια
ἀναπέπτανται (ἀναπετάννυμαι)	είναι ορθάνοιχτα
πάντοθεν	από παντού

ΕΝΟΤΗΤΑ 14

ΦΩΝΗΕΝΤΟΛΗΚΤΑ ΡΗΜΑΤΑ ΣΕ -ΜΙ

● **Υπενθυμίζεται ότι η Β΄ Συζυγία** περιλαμβάνει ρήματα:

Β΄ ΣΥΖΥΓΙΑ (ρήματα σε -μι)	
Φωνηεντόληκτα	Συμφωνόληκτα
ἵ-στη-μι	δείκ-νυ-μι
τί-θη-μι	μείγ-νυ-μι
ἵ-η-μι	ὄμ-νυ-μι
δί-δω-μι	πτάρ-νυ-μι

